



Collections

FLORILEGIVM GRAECVM

IN VSVM

PRIMI GYMNASIORVM ORDINIS

COLLECTVM

A

PHILOLOGIS AFRANIS

FASCICVLVS XIV

LIPSIAE
IN AEDIBVS B. G. TEVBNERI
MCMI

E!

LIPSIAE: TYPIS B. G. TEVBNERI

THVCYDIDES

ıtheniensis patre Oloro oriundus ex Thracia, triginta vel uadraginta annis ante bellum Peloponnesiacum exortum atus, paucis annis post confectum bellum mortuus est. Postuam pestilentia a. 430 ipse quoque correptus convaluit, ctavo belli anno classi Atheniensium in Thraciam missae raefectus cum Amphipolim amitti prohibere non potuisset, in xsilium ivit, a. 404 Athenas revocatus est. De bello Peloonnesiaco libris octo (κτῆμα ἐς ἀεί I 22), quorum novissimum nperfectum reliquit, Ciceronis sententia (de or. II 13, 56) ›mnes dicendi artificio vicit; qui ita creber est rerum freuentia, ut verborum prope numerum sententiarum numero ›nsequatur, ita porro verbis est aptus et pressus, ut nescias, utrum res oratione an verba sententiis illustrentur.'

Quo modo Pisistratidae Athenis regnaverint et expulsi sint.

(Thucyd. VI 54—59. de eadem re cf. Aristotel. Ἀθην. πολ. fasc. XII p. 12 sqq.)

Τὸ Ἀριστογείτονος καὶ Ἁρμοδίου τόλμημα δι' ἐρω- I
κὴν ξυντυχίαν ἐπεχειρήθη, ἣν ἐγὼ ἐπὶ πλέον διηγη- a. 514
ίμενος ἀποφανῶ οὔτε τοὺς ἄλλους οὔτε αὐτοὺς Ἀθη-
ιίους περὶ τῶν σφετέρων τυράννων οὐδὲ περὶ τοῦ
νομένου ἀκριβὲς οὐδὲν λέγοντας. Πεισιστράτου γὰρ 2
ηραιοῦ τελευτήσαντος ἐν τῇ τυραννίδι οὐχ Ἵππαρχος,
ϛπερ οἱ πολλοὶ οἴονται, ἀλλ' Ἱππίας πρεσβύτατος ὢν
χε τὴν ἀρχήν. γενομένου δὲ Ἁρμοδίου ὥρᾳ ἡλικίας
μπροῦ Ἀριστογείτων, ἀνὴρ τῶν ἀστῶν, μέσος πολί-
ς, ἐραστὴς ὢν εἶχεν αὐτόν. πειραθεὶς δὲ ὁ Ἁρμό- 3
ος ὑπὸ Ἱππάρχου τοῦ Πεισιστράτου καὶ οὐ πεισθεὶς
ταγορεύει τῷ Ἀριστογείτονι. ὁ δὲ ἐρωτικῶς περι-
γήσας καὶ φοβηθεὶς τὴν Ἱππάρχου δύναμιν, μὴ βίᾳ
ισαγάγηται αὐτόν, ἐπιβουλεύει εὐθὺς ὡς ἀπὸ τῆς
αρχούσης ἀξιώσεως κατάλυσιν τῇ τυραννίδι. καὶ ἐν 4

τούτῳ ὁ Ἵππαρχος ὡς αὖθις πειράσας οὐδὲν μᾶλλον
ἔπειθε τὸν Ἁρμόδιον, βίαιον μὲν οὐδὲν ἐβούλετο δρᾶν,
ἐν τρόπῳ δέ τινι ἀφανεῖ ὡς οὐ διὰ τοῦτο δὴ παρε-
5 σκευάζετο προπηλακιῶν αὐτόν. οὐδὲ γὰρ τὴν ἄλλη
ἀρχὴν ἐπαχθὴς ἦν ἐς τοὺς πολλούς, ἀλλ' ἀνεπιφθόνω
κατεστήσατο· καὶ ἐπετήδευσαν ἐπὶ πλεῖστον δὴ τύραν
νοι οὗτοι ἀρετὴν καὶ ξύνεσιν, καὶ Ἀθηναίους εἰκοστὴ
μόνον πρασσόμενοι τῶν γιγνομένων τήν τε πόλι
αὐτῶν καλῶς διεκόσμησαν καὶ τοὺς πολέμους διέφερο
6 καὶ ἐς τὰ ἱερὰ ἔθυον· τὰ δὲ ἄλλα αὐτὴ ἡ πόλις τοῖ
πρὶν κειμένοις νόμοις ἐχρῆτο, πλὴν καθ' ὅσον ἀ
τινα ἐπεμέλοντο σφῶν αὐτῶν ἐν ταῖς ἀρχαῖς εἶνα
καὶ ἄλλοι τε αὐτῶν ἦρξαν τὴν ἐνιαυσίαν Ἀθηναίο
ἀρχὴν καὶ Πεισίστρατος ὁ Ἱππίου τοῦ τυραννεύσαντ
υἱός, τοῦ πάππου ἔχων τοὔνομα, ὃς τῶν δώδεκα θεᾶ
βωμὸν τὸν ἐν τῇ ἀγορᾷ ἄρχων ἀνέθηκε καὶ τὸν τ
7 Ἀπόλλωνος ἐν Πυθίου. καὶ τῷ μὲν ἐν τῇ ἀγο
προσοικοδομήσας ὕστερον ὁ δῆμος Ἀθηναίων μεῖζ
μῆκος ἠφάνισε τοὐπίγραμμα· τοῦ δ' ἐν Πυθίου ἐ
καὶ νῦν δῆλόν ἐστιν ἀμυδροῖς γράμμασι λέγον τάδ

Μνῆμα τόδ' ἧς ἀρχῆς Πεισίστρατος Ἱππίου υἱὸς
θῆκεν Ἀπόλλωνος Πυθίου ἐν τεμένει.

II Ὅτι δὲ πρεσβύτατος ὢν Ἱππίας ἦρξεν, εἰδὼς μ
καὶ ἀκοῇ ἀκριβέστερον ἄλλων ἰσχυρίζομαι, γνοίη
ἄν τις καὶ αὐτῷ τούτῳ· παῖδες γὰρ αὐτῷ μόνῳ φ
νονται τῶν γνησίων ἀδελφῶν γενόμενοι, ὡς ὅ τε β
μὸς σημαίνει καὶ ἡ στήλη περὶ τῆς τῶν τυράνν
ἀδικίας ἡ ἐν τῇ Ἀθηναίων ἀκροπόλει σταθεῖσα, ἐν
Θεσσαλοῦ μὲν οὐδ' Ἱππάρχου οὐδεὶς παῖς γέγραπτ
Ἱππίου δὲ πέντε, οἳ αὐτῷ ἐκ Μυρρίνης τῆς Καλλι
τοῦ Ὑπεροχίδου θυγατρὸς ἐγένοντο· εἰκὸς γὰρ ἦν

*πρεσβύτατον πρῶτον γῆμαι. καὶ ἐν τῇ αὐτῇ στήλῃ
πρῶτος γέγραπται μετὰ τὸν πατέρα, οὐδὲ τοῦτο ἀπει-
κότως διὰ τὸ πρεσβεύειν τε ἀπ' αὐτοῦ καὶ τυραννεῦ-
σαι. οὐ μὴν οὐδ' ἂν κατασχεῖν μοι δοκεῖ ποτε Ἱππίας
τὸ παραχρῆμα ῥᾳδίως τὴν τυραννίδα, εἰ Ἵππαρχος
μὲν ἐν τῇ ἀρχῇ ὢν ἀπέθανεν, αὐτὸς δὲ αὐθημερὸν
καθίστατο· ἀλλὰ καὶ διὰ τὸ πρότερον ξύνηθες τοῖς
μὲν πολίταις φοβερόν, ἐς δὲ τοὺς ἐπικούρους ἀκριβὲς
πολλῷ τῷ περιόντι τοῦ ἀσφαλοῦς κατεκράτησε, καὶ
οὐχ ὡς ἀδελφὸς νεώτερος ὢν ἠπόρησεν, ἐν ᾧ οὐ πρό-
τερον ξυνεχῶς ὡμιλήκει τῇ ἀρχῇ. Ἱππάρχῳ δὲ ξυνέβη
τοῦ πάθους τῇ δυστυχίᾳ ὀνομασθέντα καὶ τὴν δόξαν
τῆς τυραννίδος ἐς τὰ ἔπειτα προσλαβεῖν.*

Τὸν δ' οὖν Ἁρμόδιον ἀπαρνηθέντα τὴν πείρασιν, III
*ὥσπερ διενοεῖτο, προυπηλάκισεν· ἀδελφὴν γὰρ αὐτοῦ
κόρην ἐπαγγείλαντες ἥκειν κανοῦν οἴσουσαν ἐν πομπῇ
τινι, ἀπήλασαν λέγοντες οὐδὲ ἐπαγγεῖλαι τὴν ἀρχὴν
διὰ τὸ μὴ ἀξίαν εἶναι. χαλεπῶς δὲ ἐνεγκόντος τοῦ* 2
*Ἁρμοδίου πολλῷ δὴ μᾶλλον δι' ἐκεῖνον καὶ ὁ Ἀριστο-
γείτων παρωξύνετο. καὶ αὐτοῖς τὰ μὲν ἄλλα πρὸς
τοὺς ξυνεπιθησομένους τῷ ἔργῳ ἐπέπρακτο, περιέμενον
δὲ Παναθήναια τὰ μεγάλα, ἐν ᾗ μόνον ἡμέρᾳ οὐχ
ὕποπτον ἐγίγνετο ἐν ὅπλοις τῶν πολιτῶν τοὺς τὴν
πομπὴν πέμψοντας ἀθρόους γενέσθαι· καὶ ἔδει ἄρξαι
μὲν αὐτούς, ξυνεπαμύνειν δὲ εὐθὺς τὰ πρὸς τοὺς
δορυφόρους ἐκείνους. ἦσαν δὲ οὐ πολλοὶ οἱ ξυνομω-* 3
*μοκότες ἀσφαλείας ἕνεκα· ἤλπιζον γὰρ καὶ τοὺς μὴ
προειδότας, εἰ καὶ ὁποσοιοῦν τολμήσειαν, ἐκ τοῦ παρα-
χρῆμα, ἔχοντάς γε ὅπλα, ἐθελήσειν σφᾶς αὐτοὺς ξυν-
ελευθεροῦν.*

Καὶ ὡς ἐπῆλθεν ἡ ἑορτή, Ἱππίας μὲν ἔξω ἐν τῷ IV

τούτῳ ὁ Ἵππαρχος ὡς αὖθις πειράσας οὐδὲν μᾶλλ
ἔπειθε τὸν Ἁρμόδιον, βίαιον μὲν οὐδὲν ἐβούλετο δρᾶ
ἐν τρόπῳ δέ τινι ἀφανεῖ ὡς οὐ διὰ τοῦτο δὴ παρε
σκευάζετο προπηλακιῶν αὐτόν. οὐδὲ γὰρ τὴν ἄλλη
ἀρχὴν ἐπαχθὴς ἦν ἐς τοὺς πολλούς, ἀλλ' ἀνεπιφθόνω
κατεστήσατο· καὶ ἐπετήδευσαν ἐπὶ πλεῖστον δὴ τύρα
νοι οὗτοι ἀρετὴν καὶ ξύνεσιν, καὶ Ἀθηναίους εἰκοστὴ
μόνον πρασσόμενοι τῶν γιγνομένων τήν τε πόλ
αὐτῶν καλῶς διεκόσμησαν καὶ τοὺς πολέμους διέφερο
6 καὶ ἐς τὰ ἱερὰ ἔθυον· τὰ δὲ ἄλλα αὐτὴ ἡ πόλις το
πρὶν κειμένοις νόμοις ἐχρῆτο, πλὴν καθ' ὅσον ἀ
τινα ἐπεμέλοντο σφῶν αὐτῶν ἐν ταῖς ἀρχαῖς εἶνα
καὶ ἄλλοι τε αὐτῶν ἦρξαν τὴν ἐνιαυσίαν Ἀθηναίο
ἀρχὴν καὶ Πεισίστρατος ὁ Ἱππίου τοῦ τυραννεύσαντ
υἱός, τοῦ πάππου ἔχων τοὔνομα, ὃς τῶν δώδεκα θεῶ
βωμὸν τὸν ἐν τῇ ἀγορᾷ ἄρχων ἀνέθηκε καὶ τὸν τ
7 Ἀπόλλωνος ἐν Πυθίου. καὶ τῷ μὲν ἐν τῇ ἀγο
προσοικοδομήσας ὕστερον ὁ δῆμος Ἀθηναίων μεῖζ
μῆκος ἠφάνισε τοὐπίγραμμα· τοῦ δ' ἐν Πυθίου
καὶ νῦν δῆλόν ἐστιν ἀμυδροῖς γράμμασι λέγον τά

'Μνῆμα τόδ' ἧς ἀρχῆς Πεισίστρατος Ἱππίου υἱὸς
θῆκεν Ἀπόλλωνος Πυθίου ἐν τεμένει'.

II Ὅτι δὲ πρεσβύτατος ὢν Ἱππίας ἦρξεν, εἰδὼς μ
καὶ ἀκοῇ ἀκριβέστερον ἄλλων ἰσχυρίζομαι, γνοίη
ἄν τις καὶ αὐτῷ τούτῳ· παῖδες γὰρ αὐτῷ μόνῳ φ
νονται τῶν γνησίων ἀδελφῶν γενόμενοι, ὡς ὅ τε β
μὸς σημαίνει καὶ ἡ στήλη περὶ τῆς τῶν τυράνν
ἀδικίας ἡ ἐν τῇ Ἀθηναίων ἀκροπόλει σταθεῖσα, ἐν
Θεσσαλοῦ μὲν οὐδ' Ἱππάρχου οὐδεὶς παῖς γέγραπτ
Ἱππίου δὲ πέντε, οἳ αὐτῷ ἐκ Μυρρίνης τῆς Καλλ
τοῦ Ὑπεροχίδου θυγατρὸς ἐγένοντο· εἰκὸς γὰρ ἦν

πρεσβύτατον πρῶτον γῆμαι. καὶ ἐν τῇ αὐτῇ στήλῃ
πρῶτος γέγραπται μετὰ τὸν πατέρα, οὐδὲ τοῦτο ἀπει-
κότως διὰ τὸ πρεσβεύειν τε ἀπ' αὐτοῦ καὶ τυραννεῦ-
σαι. οὐ μὴν οὐδ' ἂν κατασχεῖν μοι δοκεῖ ποτε Ἱππίας
τὸ παραχρῆμα ῥᾳδίως τὴν τυραννίδα, εἰ Ἵππαρχος
μὲν ἐν τῇ ἀρχῇ ὢν ἀπέθανεν, αὐτὸς δὲ αὐθημερὸν
καθίστατο· ἀλλὰ καὶ διὰ τὸ πρότερον ξύνηθες τοῖς
μὲν πολίταις φοβερόν, ἐς δὲ τοὺς ἐπικούρους ἀκριβὲς
πολλῷ τῷ περιόντι τοῦ ἀσφαλοῦς κατεκράτησε, καὶ
οὐχ ὡς ἀδελφὸς νεώτερος ὢν ἠπόρησεν, ἐν ᾧ οὐ πρό-
τερον ξυνεχῶς ὡμιλήκει τῇ ἀρχῇ. Ἱππάρχῳ δὲ ξυνέβη
τοῦ πάθους τῇ δυστυχίᾳ ὀνομασθέντα καὶ τὴν δόξαν
τῆς τυραννίδος ἐς τὰ ἔπειτα προσλαβεῖν.

Τὸν δ' οὖν Ἁρμόδιον ἀπαρνηθέντα τὴν πείρασιν, III
ὥσπερ διενοεῖτο, προυπηλάκισεν· ἀδελφὴν γὰρ αὐτοῦ
κόρην ἐπαγγείλαντες ἥκειν κανοῦν οἴσουσαν ἐν πομπῇ
τινι, ἀπήλασαν λέγοντες οὐδὲ ἐπαγγεῖλαι τὴν ἀρχὴν
διὰ τὸ μὴ ἀξίαν εἶναι. χαλεπῶς δὲ ἐνεγκόντος τοῦ 2
Ἁρμοδίου πολλῷ δὴ μᾶλλον δι' ἐκεῖνον καὶ ὁ Ἀριστο-
γείτων παρωξύνετο. καὶ αὐτοῖς τὰ μὲν ἄλλα πρὸς
τοὺς ξυνεπιθησομένους τῷ ἔργῳ ἐπέπρακτο, περιέμενον
δὲ Παναθήναια τὰ μεγάλα, ἐν ᾗ μόνον ἡμέρᾳ οὐχ
ὕποπτον ἐγίγνετο ἐν ὅπλοις τῶν πολιτῶν τοὺς τὴν
πομπὴν πέμψοντας ἀθρόους γενέσθαι· καὶ ἔδει ἄρξαι
μὲν αὐτούς, ξυνεπαμύνειν δὲ εὐθὺς τὰ πρὸς τοὺς
δορυφόρους ἐκείνους. ἦσαν δὲ οὐ πολλοὶ οἱ ξυνομω- 3
μοκότες ἀσφαλείας ἕνεκα· ἤλπιζον γὰρ καὶ τοὺς μὴ
προειδότας, εἰ καὶ ὁποσοιοῦν τολμήσειαν, ἐκ τοῦ παρα-
χρῆμα, ἔχοντάς γε ὅπλα, ἐθελήσειν σφᾶς αὐτοὺς ξυν-
ελευθεροῦν.

Καὶ ὡς ἐπῆλθεν ἡ ἑορτή, Ἱππίας μὲν ἔξω ἐν τῷ IV

Κεραμεικῷ καλουμένῳ μετὰ τῶν δορυφόρων διεκόσμ
ὡς ἕκαστα ἐχρῆν τῆς πομπῆς προϊέναι· ὁ δὲ Ἁρμόδι
καὶ ὁ Ἀριστογείτων ἔχοντες ἤδη τὰ ἐγχειρίδια ἐς
2 *ἔργον προῇσαν. καὶ ὡς εἶδόν τινα τῶν ξυνωμοτ*
σφίσι διαλεγόμενον οἰκείως τῷ Ἱππίᾳ (ἦν δὲ πᾶσ
εὐπρόσοδος ὁ Ἱππίας), ἔδεισαν καὶ ἐνόμισαν μεμην
3 *σθαί τε καὶ ὅσον οὐκ ἤδη ξυλληφθήσεσθαι. τὸν λυπ*
σαντα οὖν σφᾶς καὶ δι᾽ ὅνπερ τὰ πάντα ἐκινδύνευ
ἐβούλοντο πρότερον, εἰ δύναιντο, προτιμωρήσασθ
καὶ ὥσπερ εἶχον ὥρμησαν ἔσω τῶν πυλῶν, καὶ πε
ἐτυχον τῷ Ἱππάρχῳ περὶ τὸ Λεωκόριον καλούμεν
καὶ εὐθὺς ἀπερισκέπτως προσπεσόντες καὶ ὡς ἂν μ
λιστα δι᾽ ὀργῆς, ὁ μὲν ἐρωτικῆς, ὁ δὲ ὑβρισμέν
4 *ἔτυπτον καὶ ἀποκτείνουσιν αὐτόν. καὶ ὁ μὲν τ*
δορυφόρους τὸ αὐτίκα διαφεύγει, ὁ Ἀριστογείτ
ξυνδραμόντος τοῦ ὄχλου, καὶ ὕστερον ληφθεὶς
ῥᾳδίως διετέθη· Ἁρμόδιος δὲ αὐτοῦ παραχρῆμα ἀπ
5 *λυται. ἀγγελθέντος δὲ Ἱππίᾳ ἐς τὸν Κεραμεικόν,*
ἐπὶ τὸ γενόμενον ἀλλ᾽ ἐπὶ τοὺς πομπέας τοὺς ὁπλίτ
πρότερον ἢ αἰσθέσθαι αὐτούς, ἄποθεν ὄντας, εὐθ
ἐχώρησε, καὶ ἀδήλως τῇ ὄψει πλασάμενος πρὸς
ξυμφορὰν ἐκέλευσεν αὐτούς, δείξας τι χωρίον, ἀπελθ
6 *ἐς αὐτὸ ἄνευ τῶν ὅπλων. καὶ οἱ μὲν ἀπεχώρησ*
οἰόμενοί τι ἐρεῖν αὐτόν, ὁ δὲ τοῖς ἐπικούροις φρά
τὰ ὅπλα ὑπολαβεῖν ἐξελέγετο εὐθὺς οὓς ἐπητιᾶτο
εἴ τις ηὑρέθη ἐγχειρίδιον ἔχων.

V *Τοιούτῳ μὲν τρόπῳ δι᾽ ἐρωτικὴν λύπην ἥ τε ἀ*
τῆς ἐπιβουλῆς καὶ ἡ ἀλόγιστος τόλμα ἐκ τοῦ πα
χρῆμα περιδεοῦς Ἁρμοδίῳ καὶ Ἀριστογείτονι ἐγένε
2 *τοῖς δ᾽ Ἀθηναίοις χαλεπωτέρα μετὰ τοῦτο ἡ τυραν*
κατέστη, καὶ ὁ Ἱππίας διὰ φόβου ἤδη μᾶλλον ὢν τ

τε πολιτῶν πολλοὺς ἔκτεινε καὶ πρὸς τὰ ἔξω ἅμα διεσκοπεῖτο, εἴ ποθεν ἀσφάλειάν τινα ὁρῴη μεταβολῆς γενομένης ὑπάρχουσάν οἱ. Ἱππόκλου γοῦν τοῦ Λαμ- 3 ψακηνοῦ τυράννου Αἰαντίδῃ τῷ παιδὶ θυγατέρα ἑαυτοῦ μετὰ ταῦτα Ἀρχεδίκην, Ἀθηναῖος ὢν Λαμψακηνῷ, ἔδωκεν, αἰσθανόμενος αὐτοὺς μέγα παρὰ βασιλεῖ Δαρείῳ δύνασθαι. καὶ αὐτῆς σῆμα ἐν Λαμψάκῳ ἐστὶν ἐπίγραμμα ἔχον τόδε·

‘Ἀνδρὸς ἀριστεύσαντος ἐν Ἑλλάδι τῶν ἐφ’ ἑαυτοῦ
Ἱππίου Ἀρχεδίκην ἥδε κέκευθε κόνις·
ἣ πατρός τε καὶ ἀνδρὸς ἀδελφῶν τ’ οὖσα τυράννων
παίδων τ’ οὐκ ἤρθη νοῦν ἐς ἀτασθαλίην.’

τυραννεύσας δὲ ἔτη τρία Ἱππίας ἔτι Ἀθηναίων καὶ 4 παυθεὶς ἐν τῷ τετάρτῳ ὑπὸ Λακεδαιμονίων καὶ Ἀλκμεωνιδῶν τῶν φευγόντων ἐχώρει ὑπόσπονδος ἔς τε Σίγειον καὶ παρ’ Αἰαντίδην ἐς Λάμψακον, ἐκεῖθεν δὲ ὡς βασιλέα Δαρεῖον, ὅθεν καὶ ὁρμώμενος ἐς Μαραθῶνα ὕστερον ἔτει εἰκοστῷ ἤδη γέρων ὢν μετὰ Μήδων ἐστράτευσεν.

II. Pausanias proditionis iam dudum suspectus, tandem convictus fame necatur.

(Thucyd. I 128, 3—134.)

Ἐπειδὴ Παυσανίας ὁ Λακεδαιμόνιος τὸ πρῶτον I μεταπεμφθεὶς ὑπὸ Σπαρτιατῶν ἀπὸ τῆς ἀρχῆς τῆς ἐν c. a. 470 Ἑλλησπόντῳ καὶ κριθεὶς ὑπ’ αὐτῶν ἀπελύθη μὴ ἀδικεῖν, δημοσίᾳ μὲν οὐκέτι ἐξεπέμφθη, ἰδίᾳ δὲ αὐτὸς τριήρη λαβὼν Ἑρμιονίδα ἄνευ Λακεδαιμονίων ἀφικνεῖται ἐς Ἑλλήσποντον, τῷ μὲν λόγῳ ἐπὶ τὸν Μηδικὸν πόλεμον, τῷ δὲ ἔργῳ τὰ πρὸς βασιλέα πράγματα πράσσειν, ὥσπερ καὶ τὸ πρῶτον ἐνεχείρησεν, ἐφιέμενος τῆς Ἑλληνικῆς

κατὰ τάχος, δοκοῦντες ἐπιτήδειοι εἶναι τοῖς Ἀθηναίοις, Φιλοχαρίδας καὶ Λέων καὶ Ἔνδιος, δείσαντες μὴ τήν τε ξυμμαχίαν ὀργιζόμενοι πρὸς τοὺς Ἀργείους ποιήσωνται, καὶ ἅμα Πύλον ἀπαιτήσοντες ἀντὶ Πανάκτου, καὶ περὶ τῆς Βοιωτῶν ξυμμαχίας ἀπολογησόμενοι ὡς οὐκ ἐπὶ κακῷ τῶν Ἀθηναίων ἐποιήσαντο.

III *Καὶ λέγοντες ἐν τῇ βουλῇ περί τε τούτων καὶ ὡς αὐτοκράτορες ἥκουσι περὶ πάντων ξυμβῆναι τῶν διαφόρων, τὸν Ἀλκιβιάδην ἐφόβουν, μὴ καὶ ἢν ἐς τὸν δῆμον ταὐτὰ λέγωσιν, ἐπαγάγωνται τὸ πλῆθος καὶ*
2 *ἀπωσθῇ ἡ Ἀργείων ξυμμαχία. μηχανᾶται δὲ πρὸς αὐτοὺς τοιόνδε τι ὁ Ἀλκιβιάδης· τοὺς Λακεδαιμονίους πείθει πίστιν αὐτοῖς δούς, ἢν μὴ ὁμολογήσωσιν ἐν τῷ δήμῳ αὐτοκράτορες ἥκειν, Πύλον τε αὐτοῖς ἀποδώσειν (πείσειν γὰρ αὐτὸς Ἀθηναίους, ὥσπερ καὶ νῦν*
3 *ἀντιλέγειν) καὶ τἆλλα ξυναλλάξειν. βουλόμενος δὲ αὐτοὺς Νικίου τε ἀποστῆσαι ταῦτα ἔπρασσε καὶ ὅπως ἐν τῷ δήμῳ διαβαλὼν αὐτούς, ὡς οὐδὲν ἀληθὲς ἐν νῷ ἔχουσιν οὐδὲ λέγουσιν οὐδέποτε ταὐτά, τοὺς Ἀργείους καὶ Ἠλείους καὶ Μαντινέας ξυμμάχους ποιήσῃ.*
4 *καὶ ἐγένετο οὕτως. ἐπειδὴ γὰρ ἐς τὸν δῆμον παρελθόντες καὶ ἐπερωτώμενοι οὐκ ἔφασαν ὥσπερ ἐν τῇ βουλῇ αὐτοκράτορες ἥκειν, οἱ Ἀθηναῖοι οὐκέτι ἠνείχοντο, ἀλλὰ τοῦ Ἀλκιβιάδου πολλῷ μᾶλλον ἢ πρότερον καταβοῶντος τῶν Λακεδαιμονίων ἐσήκουόν τε καὶ ἑτοῖμοι ἦσαν εὐθὺς παραγαγόντες τοὺς Ἀργείους καὶ τοὺς μετ' αὐτῶν ξυμμάχους ποιεῖσθαι· σεισμοῦ δὲ γενομένου πρίν τι ἐπικυρωθῆναι ἡ ἐκκλησία αὕτη ἀνεβλήθη.* — — —

IV *Ἐνῆγε δὲ προθυμότατα τὴν στρατείαν* (scil. *τὴν ἐς Σικελίαν*) *Ἀλκιβιάδης ὁ Κλεινίου, βουλόμενος τῷ*

*τε Νικίᾳ ἐναντιοῦσθαι, ὢν καὶ ἐς τὰ ἄλλα διάφορος
τὰ πολιτικὰ καὶ ὅτι αὐτοῦ διαβόλως ἐμνήσθη, καὶ μά-
λιστα στρατηγῆσαί τε ἐπιθυμῶν καὶ ἐλπίζων Σικελίαν
τε δι' αὐτοῦ καὶ Καρχηδόνα λήψεσθαι καὶ τὰ ἴδια ἅμα
εὐτυχήσας χρήμασί τε καὶ δόξῃ ὠφελήσειν. ὢν γὰρ ἐν* 2
*ἀξιώματι ὑπὸ τῶν ἀστῶν, ταῖς ἐπιθυμίαις μείζοσιν ἢ
κατὰ τὴν ὑπάρχουσαν οὐσίαν ἐχρῆτο ἔς τε τὰς ἱππο-
τροφίας καὶ τὰς ἄλλας δαπάνας· ὅπερ καὶ καθεῖλεν
ὕστερον τὴν τῶν Ἀθηναίων πόλιν οὐχ ἥκιστα. φοβη-* 3
*θέντες γὰρ αὐτοῦ οἱ πολλοὶ τὸ μέγεθος τῆς τε κατὰ
τὸ ἑαυτοῦ σῶμα παρανομίας ἐς τὴν δίαιταν καὶ τῆς
διανοίας ὧν καθ' ἓν ἕκαστον ἐν ὅτῳ γίγνοιτο ἔπρασσεν,
ὡς τυραννίδος ἐπιθυμοῦντι πολέμιοι καθέστασαν, καὶ
δημοσίᾳ κράτιστα διαθέντι τὰ τοῦ πολέμου ἰδίᾳ ἕκα-
στοι τοῖς ἐπιτηδεύμασιν αὐτοῦ ἀχθεσθέντες καὶ ἄλλοις
ἐπιτρέψαντες οὐ διὰ μακροῦ ἔσφηλαν τὴν πόλιν.*

VI. Classis Atheniensium in Siciliam profectio.
(Thucyd. VI 30—32.)

Μετὰ δὲ ταῦτα θέρους μεσοῦντος ἤδη ἡ ἀναγωγὴ I
ἐγίγνετο ἐς τὴν Σικελίαν. τῶν μὲν οὖν ξυμμάχων τοῖς a. 415
*πλείστοις καὶ ταῖς σιταγωγοῖς ὁλκάσι καὶ τοῖς πλοίοις
καὶ ὅση ἄλλη παρασκευὴ ξυνείπετο πρότερον εἴρητο ἐς
Κέρκυραν ξυλλέγεσθαι, ὡς ἐκεῖθεν ἀθρόοις ἐπὶ ἄκραν
Ἰαπυγίαν τὸν Ἰόνιον διαβαλοῦσιν· αὐτοὶ δ' Ἀθηναῖοι
καὶ εἴ τινες τῶν ξυμμάχων παρῆσαν ἐς τὸν Πειραιᾶ
καταβάντες ἐν ἡμέρᾳ ῥητῇ ἅμα ἕῳ ἐπλήρουν τὰς ναῦς
ὡς ἀναξόμενοι. ξυγκατέβη δὲ καὶ ὁ ἄλλος ὅμιλος ἅπας* 2
*ὡς εἰπεῖν ὁ ἐν τῇ πόλει καὶ ἀστῶν καὶ ξένων, οἱ μὲν
ἐπιχώριοι τοὺς σφετέρους αὐτῶν ἕκαστοι προπέμποντες,
οἱ μὲν ἑταίρους, οἱ δὲ ξυγγενεῖς, οἱ δὲ υἱέας, καὶ μετ'*

σκυτάλην εἶπον τοῦ κήρυκος μὴ λείπεσθαι, εἰ δὲ μὴ πόλεμον αὐτῷ Σπαρτιάτας προαγορεύειν. ὁ δὲ βουλό-μενος ὡς ἥκιστα ὕποπτος εἶναι καὶ πιστεύων χρήμασι διαλύσειν τὴν διαβολὴν ἀνεχώρει τὸ δεύτερον ἐς Σπάρτην. καὶ ἐς μὲν τὴν εἱρκτὴν ἐσπίπτει τὸ πρῶτον ὑπὸ τῶν ἐφόρων (ἔξεστι δὲ τοῖς ἐφόροις τὸν βασιλέα δρᾶσαι τοῦτο), ἔπειτα διαπραξάμενος ὕστερον ἐξῆλθε καὶ καθίστησιν ἑαυτὸν ἐς κρίσιν τοῖς βουλομένοις περὶ αὐτῶν ἐλέγχειν.

V Καὶ φανερὸν μὲν εἶχον οὐδὲν οἱ Σπαρτιᾶται ση-μεῖον, οὔτε οἱ ἐχθροὶ οὔτε ἡ πᾶσα πόλις, ὅτῳ ἂν πι-στεύσαντες βεβαίως ἐτιμωροῦντο ἄνδρα γένους τε τοῦ βασιλείου ὄντα καὶ ἐν τῷ παρόντι τιμὴν ἔχοντα (Πλεί-σταρχον γὰρ τὸν Λεωνίδου ὄντα βασιλέα καὶ νέον

2 ἔτι ἀνεψιὸς ὢν ἐπετρόπευεν), ὑποψίας δὲ πολλὰς παρεῖχε τῇ τε παρανομίᾳ καὶ ζηλώσει τῶν βαρβάρων μὴ ἴσος βούλεσθαι εἶναι τοῖς παροῦσι, καὶ τά τε ἄλλα αὐτοῦ ἀνεσκόπουν εἴ τί που ἐξεδεδιῄτητο τῶν καθεστώτων νομίμων καὶ ὅτι ἐπὶ τὸν τρίποδά ποτε τὸν ἐν Δελφοῖς ὃν ἀνέθεσαν οἱ Ἕλληνες ἀπὸ τῶν Μήδων ἀκροθίνιον ἠξίωσεν ἐπιγράψασθαι αὐτὸς ἰδίᾳ τὸ ἐλεγεῖον τόδε·

'Ἑλλήνων ἀρχηγὸς ἐπεὶ στρατὸν ὤλεσε Μήδων,
Παυσανίας Φοίβῳ μνῆμ' ἀνέθηκε τόδε.'

3 τὸ μὲν οὖν ἐλεγεῖον οἱ Λακεδαιμόνιοι ἐξεκόλαψαν εὐ-θὺς τότε ἀπὸ τοῦ τρίποδος τοῦτο καὶ ἐπέγραψαν ὀνο-μαστὶ τὰς πόλεις ὅσαι ξυγκαθελοῦσαι τὸν βάρβαρον ἔστησαν τὸ ἀνάθημα· τοῦ μέντοι Παυσανίου ἀδίκημα καὶ τότ' ἐδόκει εἶναι, καὶ ἐπειδὴ ἐν τούτῳ καθειστήκει πολλῷ μᾶλλον παρόμοιον πραχθῆναι ἐφαίνετο τῇ πα-

4 ρούσῃ διανοίᾳ. ἐπυνθάνοντο δὲ καὶ ἐς τοὺς Εἵλωτας πράσσειν τι αὐτόν, καὶ ἦν δὲ οὕτως· ἐλευθέρωσίν τε

ὶρ ὑπισχνεῖτο αὐτοῖς καὶ πολιτείαν, ἢν ξυνεπαναστῶσι ιὶ τὸ πᾶν ξυγκατεργάσωνται. ἀλλ' οὐδ' ὣς οὐδὲ ῶν Εἱλώτων μηνυταῖς τισι πιστεύσαντες ἠξίωσαν ιώτερόν τι ποιεῖν ἐς αὐτόν, χρώμενοι τῷ τρόπῳ ᾧπερ ώθασιν ἐς σφᾶς αὐτούς, μὴ ταχεῖς εἶναι περὶ ἀνδρὸς παρτιάτου ἄνευ ἀναμφισβητήτων τεκμηρίων βουλεῦσαί ἀνήκεστον, πρίν γε δὴ αὐτοῖς, ὡς λέγεται, ὁ μέλλων ις τελευταίας βασιλεῖ ἐπιστολὰς πρὸς Ἀρτάβαζον ιμιεῖν, ἀνὴρ Ἀργίλιος, παιδικά ποτε ὢν αὐτοῦ καὶ στότατος ἐκείνῳ, μηνυτὴς γίγνεται· ὃς δείσας κατὰ θύμησίν τινα, ὅτι οὐδείς πω τῶν πρὸ ἑαυτοῦ ἀγγέ- ον πάλιν ἀφίκετο, καὶ παραποιησάμενος σφραγῖδα, α, ἢν ψευσθῇ τῆς δόξης ἢ καὶ ἐκεῖνός τι μεταγράψαι τήσῃ, μὴ ἐπιγνῷ, λύει τὰς ἐπιστολάς, ἐν αἷς ὑπονοήσας τοιοῦτο προσεπεστάλθαι καὶ αὐτὸν ηὗρεν ἐγγεγραμ- ένον κτείνειν.

VI Τότε δὴ οἱ ἔφοροι δείξαντος αὐτοῦ τὰ γράμματα ιλλον μὲν ἐπίστευσαν, αὐτήκοοι δὲ βουληθέντες ἔτι νέσθαι αὐτοῦ Παυσανίου τι λέγοντος, ἀπὸ παρα- ευῆς τοῦ ἀνθρώπου ἐπὶ Ταίναρον ἱκέτου οἰχομένου ὶ σκηνησαμένου διπλῆν διαφράγματι καλύβην, ἐς τῶν ἐφόρων ἐντός τινας ἔκρυψε, καὶ Παυσανίου αὐτὸν ἐλθόντος καὶ ἐρωτῶντος τὴν πρόφασιν τῆς τείας ᾔσθοντο πάντα σαφῶς, αἰτιωμένου τοῦ ἀν- ώπου τά τε περὶ αὐτοῦ γραφέντα καὶ τἆλλ' ἀπο- ίνοντος καθ' ἕκαστον, ὡς οὐδὲν πώποτε αὐτὸν ἐν ῖς πρὸς βασιλέα διακονίαις παραβάλοιτο, προτιμη- ίη δ' ἐν ἴσῳ τοῖς πολλοῖς τῶν διακόνων ἀποθανεῖν, κείνου αὐτά τε ταῦτα ξυνομολογοῦντος καὶ περὶ ῦ παρόντος οὐκ ἐῶντος ὀργίζεσθαι, ἀλλὰ πίστιν τοῦ ἱεροῦ διδόντος τῆς ἀναστάσεως καὶ ἀξιοῦν-

τος ὡς τάχιστα πορεύεσθαι καὶ μὴ τὰ πρασσόμε
διακωλύειν.

VII *Ἀκούσαντες δὲ ἀκριβῶς τότε μὲν ἀπῆλθον οἱ ἔφορ*
βεβαίως δὲ ἤδη εἰδότες ἐν τῇ πόλει τὴν ξύλλη
ἐποιοῦντο. λέγεται δ' αὐτὸν μέλλοντα ξυλληφθήσεσθ
ἐν τῇ ὁδῷ, ἑνὸς μὲν τῶν ἐφόρων τὸ πρόσωπον προ
ιόντος ὡς εἶδε, γνῶναι ἐφ' ᾧ ἐχώρει, ἄλλου δὲ νε
ματι ἀφανεῖ χρησαμένου καὶ δηλώσαντος εὐνοίᾳ, πρ
τὸ ἱερὸν τῆς Χαλκιοίκου χωρῆσαι δρόμῳ καὶ προκατ
φυγεῖν· ἦν δὲ ἐγγὺς τὸ τέμενος. καὶ ἐς οἴκημα
μέγα ὃ ἦν τοῦ ἱεροῦ ἐσελθών, ἵνα μὴ ὑπαίθριο
2 *ταλαιπωροίη, ἡσύχαζεν. οἱ δὲ τὸ παραυτίκα μὲν ὑστ*
ρησαν τῇ διώξει, μετὰ δὲ τοῦτο τοῦ τε οἰκήματος τ
ὄροφον ἀφεῖλον καὶ τὰς θύρας, ἔνδον ὄντα τηρήσαντ
αὐτὸν καὶ ἀπολαβόντες ἔσω, ἀπῳκοδόμησαν, προσκαθ
3 *ζόμενοί τε ἐξεπολιόρκησαν λιμῷ. καὶ μέλλοντος αὐτο*
ἀποψύχειν ὥσπερ εἶχεν ἐν τῷ οἰκήματι, αἰσθόμενοί
ἐξάγουσιν ἐκ τοῦ ἱεροῦ ἔτι ἔμπνουν ὄντα καὶ ἐξαχθε
ἀπέθανε παραχρῆμα.

III. Quantum Pericles eis, qui post eius mortem civitatem Atheniensium rexerunt, prudentia et continenti praestiterit.

(Thucyd. II 59. 65.)

I *Μετὰ τὴν δευτέραν ἐσβολὴν τῶν Πελοποννησίω*
οἱ Ἀθηναῖοι, ὡς ἥ τε γῆ αὐτῶν ἐτέτμητο τὸ δεύτερο
καὶ ἡ νόσος ἐπέκειτο ἅμα καὶ ὁ πόλεμος, ἠλλοίων
2 *τὰς γνώμας, καὶ τὸν μὲν Περικλέα ἐν αἰτίᾳ εἶχον ὡ*
πείσαντα σφᾶς πολεμεῖν καὶ δι' ἐκεῖνον ταῖς ξυμφορα
περιπεπτωκότες, πρὸς δὲ τοὺς Λακεδαιμονίους ὥρμην
ξυγχωρεῖν· καὶ πρέσβεις τινὰς πέμψαντες ὡς αὐτο
ἄπρακτοι ἐγένοντο. πανταχόθεν τε τῇ γνώμῃ ἄπορ

:αθεστῶτες ἐνέκειντο τῷ Περικλεῖ. ὁ δὲ ὁρῶν αὐτοὺς :ρὸς τὰ παρόντα χαλεπαίνοντας καὶ πάντα ποιοῦντας 3 :περ αὐτὸς ἤλπιζε, ξύλλογον ποιήσας (ἔτι δ' ἐστρατήγει) βούλετο θαρσῦναί τε καὶ ἀπαγαγὼν τὸ ὀργιζόμενον ῆς γνώμης πρὸς τὸ ἠπιώτερον καὶ ἀδεέστερον κατατῆσαι.

Παρελθὼν δὲ ὁ Περικλῆς ἐπειρᾶτο τοὺς Ἀθηναίους II ῆς τε ἐς αὐτὸν ὀργῆς παραλύειν καὶ ἀπὸ τῶν παρόνων δεινῶν ἀπάγειν τὴν γνώμην. οἱ δὲ δημοσίᾳ μὲν 2 οῖς λόγοις ἀνεπείθοντο καὶ οὔτε πρὸς τοὺς Λακεδαιονίους ἔτι ἔπεμπον ἔς τε τὸν πόλεμον μᾶλλον ὥρηντο· ἰδίᾳ δὲ τοῖς παθήμασιν ἐλυποῦντο, ὁ μὲν δῆμος, :ι ἀπ' ἐλασσόνων ὁρμώμενος ἐστέρητο καὶ τούτων, δὲ δυνατοὶ καλὰ κτήματα κατὰ τὴν χώραν οἰκοδο- :αις τε καὶ πολυτελέσι κατασκευαῖς ἀπολωλεκότες, τὸ : μέγιστον, πόλεμον ἀντ' εἰρήνης ἔχοντες. οὐ μέντοι 3 ρότερόν γε οἱ ξύμπαντες ἐπαύσαντο ἐν ὀργῇ ἔχοντες ιτόν, πρὶν ἐξημίωσαν χρήμασιν. ὕστερον δ' αὖθις 4 ι πολλῷ, ὅπερ φιλεῖ ὅμιλος ποιεῖν, στρατηγὸν εἵλοντο :ὶ πάντα τὰ πράγματα ἐπέτρεψαν, ὧν μὲν περὶ τὰ κεῖα ἕκαστος ἤλγει ἀμβλύτεροι ἤδη ὄντες, ὧν δὲ ἡ μπασα πόλις προσεδεῖτο πλείστου ἄξιον νομίζοντες ναι. ὅσον τε γὰρ χρόνον προύστη τῆς πόλεως ἐν 5 εἰρήνῃ, μετρίως ἐξηγεῖτο καὶ ἀσφαλῶς διεφύλαξεν τήν, καὶ ἐγένετο ἐπ' ἐκείνου μεγίστη, ἐπειδή τε ὁ λεμος κατέστη, ὁ δὲ φαίνεται καὶ ἐν τούτῳ προγνοὺς ν δύναμιν. ἐπεβίω δὲ δύο ἔτη καὶ ἓξ μῆνας· καὶ 6 :ιδὴ ἀπέθανεν, ἐπὶ πλέον ἔτι ἐγνώσθη ἡ πρόνοια τοῦ ἐς τὸν πόλεμον. ὁ μὲν γὰρ ἡσυχάζοντάς τε 7 : τὸ ναυτικὸν θεραπεύοντας καὶ ἀρχὴν μὴ ἐπικτωνους ἐν τῷ πολέμῳ μηδὲ τῇ πόλει κινδυνεύοντας

νυτάς, ἀλλὰ πάντα ὑπόπτως ἀποδεχόμενοι, διὰ πονηρῶν
ἀνθρώπων πίστιν πάνυ χρηστοὺς τῶν πολιτῶν ξυλλαμ-
βάνοντες κατέδουν, χρησιμώτερον ἡγούμενοι εἶναι βα-
σανίσαι τὸ πρᾶγμα καὶ εὑρεῖν ἢ διὰ μηνυτοῦ πονηρίαν
3 τινὰ καὶ χρηστὸν δοκοῦντα εἶναι αἰτιαθέντα ἀνέλεγκτον
διαφυγεῖν. ἐπιστάμενος γὰρ ὁ δῆμος ἀκοῇ τὴν Πεισι-
στράτου καὶ τῶν παίδων τυραννίδα χαλεπὴν τελευ-
τῶσαν γενομένην καὶ προσέτι οὐδ' ὑφ' ἑαυτῶν καὶ
Ἁρμοδίου καταλυθεῖσαν, ἀλλ' ὑπὸ Λακεδαιμονίων, ἐφο-
βεῖτο ἀεὶ καὶ πάντα ὑπόπτως ἐλάμβανεν.
V Ὧν ἐνθυμούμενος ὁ δῆμος ὁ τῶν Ἀθηναίων καὶ
μιμνησκόμενος ὅσα ἀκοῇ περὶ αὐτῶν ἠπίστατο, χαλεπὸς
ἦν τότε καὶ ὑπόπτης ἐς τοὺς περὶ τῶν μυστικῶν τὴν
αἰτίαν λαβόντας, καὶ πάντα αὐτοῖς ἐδόκει ἐπὶ ξυνωμοσίᾳ
2 ὀλιγαρχικῇ καὶ τυραννικῇ πεπρᾶχθαι. καὶ ὡς αὐτῶν
διὰ τὸ τοιοῦτον ὀργιζομένων πολλοί τε καὶ ἀξιόλογοι
ἄνθρωποι ἤδη ἐν τῷ δεσμωτηρίῳ ἦσαν καὶ οὐκ ἐν παύλῃ
ἐφαίνετο, ἀλλὰ καθ' ἡμέραν ἐπεδίδοσαν μᾶλλον ἐς τὸ
ἀγριώτερόν τε καὶ πλείους ἔτι ξυλλαμβάνειν, ἐνταῦθα
ἀναπείθεται εἷς τῶν δεδεμένων, ὅσπερ ἐδόκει αἰτιώτατος
εἶναι, ὑπὸ τῶν ξυνδεσμωτῶν τινος εἴτε ἄρα καὶ τὰ ὄντα
μηνῦσαι εἴτε καὶ οὔ· ἐπ' ἀμφότερα γὰρ εἰκάζεται, τὸ δὲ
σαφὲς οὐδεὶς οὔτε τότε οὔτε ὕστερον ἔχει εἰπεῖν περὶ
3 τῶν δρασάντων τὸ ἔργον. λέγων δὲ ἔπεισεν αὐτόν, ὡς
χρή, εἰ μὴ καὶ δέδρακεν, αὐτόν τε ἄδειαν ποιησάμενον
σῶσαι καὶ τὴν πόλιν τῆς παρούσης ὑποψίας παῦσαι·
βεβαιοτέραν γὰρ αὐτῷ σωτηρίαν εἶναι ὁμολογήσαντι
4 μετ' ἀδείας ἢ ἀρνηθέντι διὰ δίκης ἐλθεῖν. καὶ ὁ μὲν
αὐτός τε καθ' ἑαυτοῦ καὶ κατ' ἄλλων μηνύει τὸ τῶν
Ἑρμῶν· ὁ δὲ δῆμος ὁ τῶν Ἀθηναίων ἄσμενος λαβών,
ὡς ᾤετο, τὸ σαφὲς καὶ δεινὸν ποιούμενοι πρότερον, εἰ

καὶ τοῖς ἀπὸ Σικελίας μετ' αὐτῶν καὶ τῶν ξυμμάχων ἔτι τοῖς πλείοσιν ἀφεστηκόσι, Κύρῳ τε ὕστερον βασιλέως παιδὶ προσγενομένῳ, ὃς παρεῖχε χρήματα Πελοποννησίοις ἐς τὸ ναυτικόν· καὶ οὐ πρότερον ἐνέδοσαν ἢ αὐτοὶ σφίσιν αὐτοῖς κατὰ τὰς ἰδίας διαφορὰς περιπεσόντες ἐσφάλησαν. τοσοῦτον τῷ Περικλεῖ ἐπερίσ- 13
σευσε τότε ἀφ' ὧν αὐτὸς προέγνω καὶ πάνυ ἂν ῥᾳδίως περιγενέσθαι τῶν Πελοποννησίων αὐτῶν τῷ πολέμῳ.

IV. Unum fuisse bellum Peloponnesiacum et per continuos viginti septem annos gestum esse.

(Thucyd. V 25 sq.)

Μετὰ τὰς σπονδὰς καὶ τὴν ξυμμαχίαν τῶν Λακε- I
δαιμονίων καὶ τῶν Ἀθηναίων, αἳ ἐγένοντο μετὰ τὸν δεκέτη πόλεμον ἐπὶ Πλειστόλα μὲν ἐν Λακεδαίμονι ἐφόρου, Ἀλκαίου δ' ἄρχοντος Ἀθήνησι, τοῖς μὲν δεξαμένοις αὐτὰς εἰρήνη ἦν, οἱ δὲ Κορίνθιοι καὶ τῶν ἐν Πελοποννήσῳ πόλεών τινες διεκίνουν τὰ πεπραγμένα· καὶ εὐθὺς ἄλλη τε ταραχὴ καθίστατο τῶν ξυμμάχων πρὸς τὴν Λακεδαίμονα, καὶ ἅμα καὶ τοῖς Ἀθηναίοις 2
οἱ Λακεδαιμόνιοι προϊόντος τοῦ χρόνου ὕποπτοι ἐγένοντο, ἔστιν ἐν οἷς οὐ ποιοῦντες ἐκ τῶν ξυγκειμένων ἃ εἴρητο. καὶ ἐπὶ ἓξ ἔτη μὲν καὶ δέκα μῆνας ἀπέσχοντο 3
μὴ ἐπὶ τὴν ἑκατέρων γῆν στρατεῦσαι, ἔξωθεν δὲ μετ' ἀνακωχῆς οὐ βεβαίου ἔβλαπτον ἀλλήλους τὰ μάλιστα· ἔπειτα μέντοι καὶ ἀναγκασθέντες λῦσαι τὰς μετὰ τὰ δέκα ἔτη σπονδὰς αὖθις ἐς πόλεμον φανερὸν κατέστησαν.

Γέγραφε δὲ καὶ ταῦτα ὁ αὐτὸς Θουκυδίδης Ἀθη- II
ναῖος ἑξῆς ὡς ἕκαστα ἐγένετο κατὰ θέρη καὶ χειμῶνας, μέχρι οὗ τήν τε ἀρχὴν κατέπαυσαν τῶν Ἀθηναίων

Λακεδαιμόνιοι καὶ οἱ ξύμμαχοι καὶ τὰ μακρὰ τεί
καὶ τὸν Πειραιᾶ κατέλαβον. ἔτη δὲ ἐς τοῦτο τὰ ξύμ
2 *παντα ἐγένετο τῷ πολέμῳ ἑπτὰ καὶ εἴκοσι. καὶ τ*
διὰ μέσου ξύμβασιν εἴ τις μὴ ἀξιώσει πόλεμον νομ
ζειν, οὐκ ὀρθῶς δικαιώσει. τοῖς τε γὰρ ἔργοις
διῄρηται ἀθρείτω, καὶ εὑρήσει οὐκ εἰκὸς ὂν εἰρήν
αὐτὴν κριθῆναι, ἐν ᾗ οὔτε ἀπέδοσαν πάντα οὔτ' ἀπ
δέξαντο ἃ ξυνέθεντο, ἔξω τε τούτων πρὸς τὸν Μα
τινικὸν καὶ Ἐπιδαύριον πόλεμον καὶ ἐς ἄλλα ἀμφο
ροις ἁμαρτήματα ἐγένοντο, καὶ οἱ ἐπὶ Θρᾴκης ξύμμα
οὐδὲν ἧσσον πολέμιοι ἦσαν, Βοιωτοί τε ἐκεχειρ
3 *δεχήμερον ἦγον. ὥστε ξὺν τῷ πρώτῳ πολέμῳ*
δεκέτει καὶ τῇ μετ' αὐτὸν ὑπόπτῳ ἀνακωχῇ καὶ
ὕστερον ἐξ αὐτῆς πολέμῳ εὑρήσει τις τοσαῦτα
λογιζόμενος κατὰ τοὺς χρόνους, καὶ ἡμέρας οὐ πολ
παρενεγκούσας, καὶ τοῖς ἀπὸ χρησμῶν τι ἰσχυρισα
4 *νοις μόνον δὴ τοῦτο ἐχυρῶς ξυμβάν. ἀεὶ γὰρ ἔγ*
μέμνημαι, καὶ ἀρχομένου τοῦ πολέμου καὶ μέχρι
ἐτελεύτησε, προφερόμενον ὑπὸ πολλῶν, ὅτι τρὶς ἐν
5 *ἔτη δέοι γενέσθαι αὐτόν. ἐπεβίων δὲ διὰ πα*
αὐτοῦ, αἰσθανόμενός τε τῇ ἡλικίᾳ καὶ προσέχων
γνώμην, ὅπως ἀκριβές τι εἴσομαι· καὶ ξυνέβη
φεύγειν τὴν ἐμαυτοῦ ἔτη εἴκοσι μετὰ τὴν ἐς Ἀμφίπ
στρατηγίαν, καὶ γενομένῳ παρ' ἀμφοτέροις τοῖς π
μασι, καὶ οὐχ ἧσσον τοῖς Πελοποννησίων διὰ
φυγήν, καθ' ἡσυχίαν τι αὐτῶν μᾶλλον αἰσθέσθαι.

V. Alcibiadis bellum concitantis fallaciae.

(Thucyd. V 43—45; VI 15, 2 sqq.)

1 *Κατὰ τοιαύτην δὴ διαφορὰν ὄντων τῶν Λακ*
μονίων πρὸς τοὺς Ἀθηναίους οἱ ἐν ταῖς Ἀθήναι
2 *βουλόμενοι λῦσαι τὰς σπονδὰς εὐθὺς ἐνέκειντο. ἦσ*

*Λακεδαιμόνιοι ἦσαν αὐτῷ προσφιλεῖς κἀκεῖνος οὐχ ἥκι-
στα διὰ τοῦτο πιστεύσας ἑαυτὸν τῷ Γυλίππῳ παρέ-
δωκεν. ἀλλὰ τῶν Συρακοσίων τινές, ὡς ἐλέγετο, οἱ
μὲν δείσαντες, ὅτι πρὸς αὐτὸν ἐκεκοινολόγηντο, μὴ βασα-
νιζόμενος διὰ τὸ τοιοῦτο ταραχὴν σφίσιν ἐν εὐπραγίᾳ
ποιήσῃ, ἄλλοι δέ, καὶ οὐχ ἥκιστα οἱ Κορίνθιοι, μὴ χρή-
μασι δὴ πείσας τινάς, ὅτι πλούσιος ἦν, ἀποδρᾷ καὶ
αὖθις σφίσι νεώτερόν τι ἀπ' αὐτοῦ γένηται, πείσαντες
τοὺς ξυμμάχους ἀπέκτειναν αὐτόν. καὶ ὁ μὲν τοιαύτῃ* 5
*ἢ ὅτι ἐγγύτατα τούτων αἰτίᾳ ἐτεθνήκει, ἥκιστα δὴ ἄξιος
ὢν τῶν γε ἐπ' ἐμοῦ Ἑλλήνων ἐς τοῦτο δυστυχίας
ἀφικέσθαι διὰ τὴν πᾶσαν ἐς ἀρετὴν νενομισμένην ἐπι-
τήδευσιν.*

Τοὺς δ' ἐν ταῖς λιθοτομίαις οἱ Συρακόσιοι χαλεπῶς II
*τοὺς πρώτους χρόνους μετεχείρισαν. ἐν γὰρ κοίλῳ χωρίῳ
ὄντας καὶ ὀλίγῳ πολλοὺς οἵ τε ἥλιοι τὸ πρῶτον καὶ
πνῖγος ἔτι ἐλύπει διὰ τὸ ἀστέγαστον, καὶ αἱ νύκτες
ἐπιγιγνόμεναι τοὐναντίον μετοπωριναὶ καὶ ψυχραὶ τῇ
μεταβολῇ ἐς ἀσθένειαν ἐνεωτέριζον, πάντα τε ποιούν-* 2
*των αὐτῶν διὰ στενοχωρίαν ἐν τῷ αὐτῷ καὶ προσέτι
τῶν νεκρῶν ὁμοῦ ἐπ' ἀλλήλοις ξυννενημένων, οἳ ἔκ τε
τῶν τραυμάτων καὶ διὰ τὴν μεταβολὴν καὶ τὸ τοιοῦτον
ἀπέθνησκον, καὶ ὀσμαὶ ἦσαν οὐκ ἀνεκτοί, καὶ λιμῷ ἅμα
καὶ δίψῃ ἐπιέζοντο· ἐδίδοσαν γὰρ αὐτῶν ἑκάστῳ ἐπὶ
ὀκτὼ μῆνας κοτύλην ὕδατος καὶ δύο κοτύλας σίτου.
ἄλλα τε ὅσα εἰκὸς ἐν τῷ τοιούτῳ χωρίῳ ἐμπεπτωκότας
κακοπαθῆσαι, οὐδὲν ὅ τι οὐκ ἐπεγένετο αὐτοῖς. καὶ* 3
*ἡμέρας μὲν ἑβδομήκοντά τινας οὕτω διητήθησαν ἁθρόοι·
ἔπειτα πλὴν Ἀθηναίων καὶ εἴ τινες Σικελιωτῶν ἢ Ἰτα-
λιωτῶν ξυνεστράτευσαν, τοὺς ἄλλους ἀπέδοντο. ἐλή-* 4
φθησαν δὲ οἱ ξύμπαντες, ἀκριβείᾳ μὲν χαλεπὸν ἐξει-

κατὰ τάχος, δοκοῦντες ἐπιτήδειοι εἶναι τοῖς Ἀθηναίοις,
Φιλοχαρίδας καὶ Λέων καὶ Ἔνδιος, δείσαντες μὴ τήν τε
ξυμμαχίαν ὀργιζόμενοι πρὸς τοὺς Ἀργείους ποιήσωνται,
καὶ ἅμα Πύλον ἀπαιτήσοντες ἀντὶ Πανάκτου, καὶ περὶ
τῆς Βοιωτῶν ξυμμαχίας ἀπολογησόμενοι ὡς οὐκ ἐπὶ
κακῷ τῶν Ἀθηναίων ἐποιήσαντο.

III *Καὶ λέγοντες ἐν τῇ βουλῇ περί τε τούτων καὶ ὡς*
αὐτοκράτορες ἥκουσι περὶ πάντων ξυμβῆναι τῶν δια-
φόρων, τὸν Ἀλκιβιάδην ἐφόβουν, μὴ καὶ ἢν ἐς τὸν
δῆμον ταὐτὰ λέγωσιν, ἐπαγάγωνται τὸ πλῆθος καὶ
2 *ἀπωσθῇ ἡ Ἀργείων ξυμμαχία. μηχανᾶται δὲ πρὸς*
αὐτοὺς τοιόνδε τι ὁ Ἀλκιβιάδης· τοὺς Λακεδαιμονίους
πείθει πίστιν αὐτοῖς δούς, ἢν μὴ ὁμολογήσωσιν ἐν
τῷ δήμῳ αὐτοκράτορες ἥκειν, Πύλον τε αὐτοῖς ἀπο-
δώσειν (πείσειν γὰρ αὐτὸς Ἀθηναίους, ὥσπερ καὶ νῦν
3 *ἀντιλέγειν) καὶ τἆλλα ξυναλλάξειν. βουλόμενος δὲ*
αὐτοὺς Νικίου τε ἀποστῆσαι ταῦτα ἔπρασσε καὶ ὅπως
ἐν τῷ δήμῳ διαβαλὼν αὐτούς, ὡς οὐδὲν ἀληθὲς ἐν
νῷ ἔχουσιν οὐδὲ λέγουσιν οὐδέποτε ταὐτά, τοὺς Ἀρ-
γείους καὶ Ἠλείους καὶ Μαντινέας ξυμμάχους ποιήσῃ.
4 *καὶ ἐγένετο οὕτως. ἐπειδὴ γὰρ ἐς τὸν δῆμον παρελ-*
θόντες καὶ ἐπερωτώμενοι οὐκ ἔφασαν ὥσπερ ἐν τῇ
βουλῇ αὐτοκράτορες ἥκειν, οἱ Ἀθηναῖοι οὐκέτι ἠνεί-
χοντο, ἀλλὰ τοῦ Ἀλκιβιάδου πολλῷ μᾶλλον ἢ πρό-
τερον καταβοῶντος τῶν Λακεδαιμονίων ἐσήκουόν τε
καὶ ἑτοῖμοι ἦσαν εὐθὺς παραγαγόντες τοὺς Ἀργείους
καὶ τοὺς μετ' αὐτῶν ξυμμάχους ποιεῖσθαι· σεισμοῦ
δὲ γενομένου πρίν τι ἐπικυρωθῆναι ἡ ἐκκλησία αὕτη
ἀνεβλήθη. — — —

IV *Ἐνῆγε δὲ προθυμότατα τὴν στρατείαν* (scil. *τὴν*
ἐς Σικελίαν) *Ἀλκιβιάδης ὁ Κλεινίου, βουλόμενος τῷ*

*καὶ τοὺς ἀνθρώπους ἐφόνευον οὐ φειδόμενοι οὔτε πρε-
σβυτέρας οὔτε νεωτέρας ἡλικίας, ἀλλὰ πάντας ἑξῆς, ὅτῳ
ἐντύχοιεν, καὶ παῖδας καὶ γυναῖκας κτείνοντες, καὶ
προσέτι καὶ ὑποζύγια καὶ ὅσα ἄλλα ἔμψυχα ἴδοιεν. τὸ
γὰρ γένος τὸ τῶν Θρᾳκῶν, ὁμοῖα τοῖς μάλιστα τοῦ
βαρβαρικοῦ, ἐν ᾧ ἂν θαρσήσῃ, φονικώτατόν ἐστι. καὶ* 5
*τότε ἄλλη τε ταραχὴ οὐκ ὀλίγη καὶ ἰδέα πᾶσα καθει-
στήκει ὀλέθρου, καὶ ἐπιπεσόντες διδασκαλείῳ παίδων,
ὅπερ μέγιστον ἦν αὐτόθι καὶ ἄρτι ἔτυχον οἱ παῖδες
ἐσεληλυθότες, κατέκοψαν πάντας· καὶ ξυμφορὰ τῇ πόλει
πάσῃ οὐδεμιᾶς ἥσσων μᾶλλον ἑτέρας ἀδόκητός τε ἐπέ-
πεσεν αὕτη καὶ δεινή.*

Οἱ δὲ Θηβαῖοι αἰσθόμενοι ἐβοήθουν, καὶ καταλα- II
*βόντες προκεχωρηκότας ἤδη τοὺς Θρᾷκας οὐ πολὺ τήν
τε λείαν ἀφείλοντο καὶ αὐτοὺς φοβήσαντες καταδιώκου-
σιν ἐπὶ τὸν Εὔριπον καὶ τὴν θάλασσαν, οὗ αὐτοῖς τὰ
πλοῖα ἃ ἤγαγεν ὥρμει. καὶ ἀποκτείνουσιν αὐτῶν ἐν* 2
*τῇ ἐσβάσει τοὺς πλείστους, οὔτε ἐπισταμένους νεῖν, τῶν
τε ἐν τοῖς πλοίοις, ὡς ἑώρων τὰ ἐν τῇ γῇ, ὁρμισάντων
ἔξω τοξεύματος τὰ πλοῖα· ἐπεὶ ἔν γε τῇ ἄλλῃ ἀναχω-
ρήσει οὐκ ἀτόπως οἱ Θρᾷκες πρὸς τὸ τῶν Θηβαίων
ἱππικόν, ὅπερ πρῶτον προσέκειτο, προεκθέοντές τε καὶ
ξυστρεφόμενοι ἐν ἐπιχωρίῳ τάξει τὴν φυλακὴν ἐποι-
οῦντο, καὶ ὀλίγοι αὐτῶν ἐν τούτῳ διεφθάρησαν· μέρος
δέ τι καὶ ἐν τῇ πόλει αὐτῇ δι᾽ ἁρπαγὴν ἐγκαταλειφθὲν
ἀπώλετο. οἱ δὲ ξύμπαντες τῶν Θρᾳκῶν πεντήκοντα καὶ
διακόσιοι ἀπὸ τριακοσίων καὶ χιλίων ἀπέθανον· διέ-* 3
*φθειραν δὲ καὶ τῶν Θηβαίων καὶ τῶν ἄλλων οἳ ξυνε-
βοήθησαν ἐς εἴκοσι μάλιστα ἱππέας τε καὶ ὁπλίτας
ὁμοῦ καὶ Θηβαίων τῶν βοιωταρχῶν Σκιρφώνδαν· τῶν
δὲ Μυκαλησσίων μέρος τι ἀπανηλώθη πάθει χρησα-* 4

χουσιν· οὔτε γὰρ ἐνθάδε σοι φαίνεται ταῦτα πράττοντι ἄμεινον εἶναι οὐδὲ δικαιότερον οὐδὲ ὁσιώτερον, οὐδὲ ἄλλῳ τῶν σῶν οὐδενί, οὔτε ἐκεῖσε ἀφικομένῳ ἄμεινον
2 ἔσται. ἀλλὰ νῦν μὲν ἠδικημένος ἄπει, ἐὰν ἀπίῃς, οὐχ ὑφ' ἡμῶν τῶν νόμων ἀλλὰ ὑπ' ἀνθρώπων· ἐὰν δὲ ἐξέλθῃς οὕτως αἰσχρῶς ἀνταδικήσας τε καὶ ἀντικακουργήσας, τὰς σαυτοῦ ὁμολογίας τε καὶ ξυνθήκας τὰς πρὸς ἡμᾶς παραβὰς καὶ κακὰ ἐργασάμενος τούτους οὓς ἥκιστα ἔδει, σαυτόν τε καὶ φίλους καὶ πατρίδα καὶ ἡμᾶς, ἡμεῖς τέ σοι χαλεπανοῦμεν ζῶντι, καὶ ἐκεῖ οἱ ἡμέτεροι ἀδελφοὶ οἱ ἐν Ἅιδου νόμοι οὐκ εὐμενῶς σε ὑποδέξονται, εἰδότες, ὅτι καὶ ἡμᾶς ἐπεχείρησας ἀπολέσαι τὸ σὸν μέρος. ἀλλὰ μή σε πείσῃ Κρίτων ποιεῖν ἃ λέγει μᾶλλον ἢ ἡμεῖς.'

XIV. Philippum, Macedonum regem, non esse δυσπολέμητον.

(Demosth. Phil. I [a. 351] 4—8. cf. fasc. II p. 10.)

1 Εἴ τις ὑμῶν, ὦ ἄνδρες Ἀθηναῖοι, δυσπολέμητον οἴεται τὸν Φίλιππον εἶναι, σκοπῶν τό τε πλῆθος τῆς ὑπαρχούσης αὐτῷ δυνάμεως καὶ τὸ τὰ χωρία πάντ' ἀπολωλέναι τῇ πόλει, ὀρθῶς μὲν οἴεται, λογισάσθω μέντοι τοῦθ', ὅτι εἴχομέν ποθ' ἡμεῖς, ὦ ἄνδρες Ἀθηναῖοι, Πύδναν καὶ Ποτείδαιαν καὶ Μεθώνην καὶ πάντα τὸν τόπον τοῦτον οἰκεῖον κύκλῳ, καὶ πολλὰ τῶν μετ' ἐκείνου νῦν ὄντων ἐθνῶν αὐτονομούμενα καὶ ἐλεύθερ' ὑπῆρχε καὶ μᾶλλον ἡμῖν ἐβούλετ' ἔχειν οἰκείως ἢ 'κείνῳ.
2 εἰ τοίνυν ὁ Φίλιππος τότε ταύτην ἔσχε τὴν γνώμην, ὡς χαλεπὸν πολεμεῖν ἐστιν Ἀθηναίοις ἔχουσι τοσαῦτ' ἐπιτειχίσματα τῆς αὑτοῦ χώρας ἔρημον ὄντα συμμάχων, οὐδὲν ἂν ὧν νυνὶ πεποίηκεν ἔπραξεν οὐδὲ τοσαύτην

ἐκτήσατο δύναμιν. ἀλλ' εἶδεν, ὦ ἄνδρες Ἀθηναῖοι,
τοῦτο καλῶς ἐκεῖνος, ὅτι ταῦτα μέν ἐστιν ἅπαντα τὰ
χωρί' ἆθλα τοῦ πολέμου κείμεν' ἐν μέσῳ, φύσει δ'
ὑπάρχει τοῖς παροῦσι τὰ τῶν ἀπόντων καὶ τοῖς ἐθέλουσι
πονεῖν καὶ κινδυνεύειν τὰ τῶν ἀμελούντων. καὶ γάρ 3
τοι ταύτῃ χρησάμενος τῇ γνώμῃ πάντα κατέστραπται
καὶ ἔχει, τὰ μὲν ὡς ἂν ἑλών τις ἔχοι πολέμῳ, τὰ δὲ
σύμμαχα καὶ φίλα ποιησάμενος· καὶ γὰρ συμμαχεῖν
καὶ προσέχειν τὸν νοῦν τούτοις ἐθέλουσιν ἅπαντες,
οὓς ἂν ὁρῶσι παρεσκευασμένους καὶ πράττειν ἐθέλον-
τας ἃ χρή. ἂν τοίνυν, ὦ ἄνδρες Ἀθηναῖοι, καὶ ὑμεῖς 4
ἐπὶ τῆς τοιαύτης ἐθελήσητε γενέσθαι γνώμης νῦν,
ἐπειδήπερ οὐ πρότερον, καὶ ἕκαστος ὑμῶν, οὗ δεῖ καὶ
δύναιτ' ἂν παρασχεῖν αὑτὸν χρήσιμον τῇ πόλει, πᾶσαν
ἀφεὶς εἰρωνείαν ἕτοιμος πράττειν ὑπάρξῃ, ὁ μὲν χρή-
ματ' ἔχων εἰσφέρειν, ὁ δ' ἐν ἡλικίᾳ στρατεύεσθαι, —
συνελόντι δ' ἁπλῶς ἐὰν ὑμῶν αὐτῶν ἐθελήσητε γενέ-
σθαι καὶ παύσησθ' αὐτὸς μὲν οὐδὲν ἕκαστος ποιήσειν
ἐλπίζων, τὸν δὲ πλησίον πάνθ' ὑπὲρ αὑτοῦ πράξειν,
καὶ τὰ ὑμέτερ' αὐτῶν κομιεῖσθε, ἂν θεὸς θέλῃ, καὶ
τὰ κατερρᾳθυμημένα πάλιν ἀναλήψεσθε, κἀκεῖνον τιμω-
ρήσεσθε. μὴ γὰρ ὡς θεῷ νομίζετ' ἐκείνῳ τὰ παρόντα 5
πεπηγέναι πράγματ' ἀθάνατα, ἀλλὰ καὶ μισεῖ τις ἐκεῖ-
νον καὶ δέδιεν, ὦ ἄνδρες Ἀθηναῖοι, καὶ φθονεῖ, καὶ
τῶν πάνυ νῦν δοκούντων οἰκείως ἔχειν· καὶ ἅπανθ',
ὅσα περ καὶ ἐν ἄλλοις τισὶν ἀνθρώποις ἔνι, ταῦτα κἀν
τοῖς μετ' ἐκείνου χρὴ νομίζειν ἐνεῖναι. κατέπτηχε
μέντοι πάντα ταῦτα νῦν, οὐκ ἔχοντ' ἀποστροφὴν διὰ
τὴν ὑμετέραν βραδυτῆτα καὶ ῥᾳθυμίαν, ἣν ἀποθέσθαι
φημὶ δεῖν ἤδη.

XV. Incertas et non magnas esse Philippi ut sociales ita domesticas opes.

(Demosth. Ol. II [a. 349] 5—10. 13—21.)

I Τὸ μὲν οὖν ἐπίορκον καὶ ἄπιστον καλεῖν ἄνευ τοῦ
τὰ πεπραγμένα δεικνύναι λοιδορίαν εἶναί τις ἂν φή-
σειε κενὴν δικαίως· τὸ δὲ πάνθ' ὅσα πώποτ' ἔπραξε
διεξιόντ' ἐφ' ἅπασι τούτοις ἐλέγχειν καὶ βραχέος λό-
γου συμβαίνει δεῖσθαι καὶ δυοῖν ἕνεχ' ἡγοῦμαι συμ-
φέρειν εἰρῆσθαι, τοῦ τ' ἐκεῖνον, ὅπερ καὶ ἀληθὲς ὑπάρ-
χει, φαῦλον φαίνεσθαι καὶ τοὺς ὑπερεκπεπληγμένους
ὡς ἄμαχόν τινα τὸν Φίλιππον ἰδεῖν, ὅτι πάντα διεξε-
λήλυθεν, οἷς πρότερον παρακρουόμενος μέγας ηὐξήθη,
καὶ πρὸς αὐτὴν ἥκει τὴν τελευτὴν τὰ πράγματ' αὐτῷ.
2 ἐγὼ γάρ, ὦ ἄνδρες Ἀθηναῖοι, σφόδρ' ἂν ἡγούμην καὶ
αὐτὸς φοβερὸν τὸν Φίλιππον καὶ θαυμαστόν, εἰ τὰ
δίκαια πράττονθ' ἑώρων ηὐξημένον· νῦν δὲ θεωρῶν
καὶ σκοπῶν εὑρίσκω, τὴν μὲν ἡμετέραν εὐήθειαν τὸ
a. 351 κατ' ἀρχάς, ὅτ' Ὀλυνθίους ἀπήλαυνόν τινες ἐνθένδε
βουλομένους ὑμῖν διαλεχθῆναι, τῷ τὴν Ἀμφίπολιν φά-
σκειν παραδώσειν καὶ τὸ θρυλούμενόν ποτ' ἀπόρρητον
3 ἐκεῖνο κατασκευάσαι, τούτῳ προσαγαγόμενον, τὴν δ'
Ὀλυνθίων φιλίαν μετὰ ταῦτα τῷ Ποτείδαιαν οὖσαν
ὑμετέραν ἐξελεῖν καὶ τοὺς μὲν πρότερον συμμάχους
ὑμᾶς ἀδικῆσαι, παραδοῦναι δ' ἐκείνοις, Θετταλοὺς δὲ
νῦν τὰ τελευταῖα τῷ Μαγνησίαν παραδώσειν ὑποσχέ-
σθαι καὶ τὸν Φωκικὸν πόλεμον πολεμήσειν ὑπὲρ αὐτῶν
ἀναδέξασθαι. ὅλως δ' οὐδεὶς ἔστιν ὅντιν' οὐ πεφενά-
κικεν ἐκεῖνος τῶν αὐτῷ χρησαμένων· τὴν γὰρ ἑκάστων
ἄνοιαν ἀεὶ τῶν ἀγνοούντων αὐτὸν ἐξαπατῶν καὶ προσ-
4 λαμβάνων οὕτως ηὐξήθη. ὥσπερ οὖν διὰ τούτων ἤρθη
μέγας, ἡνίχ' ἕκαστοι συμφέρον αὐτὸν ἑαυτοῖς ᾤοντό τι

πράξειν, οὕτως ὀφείλει διὰ τῶν αὐτῶν τούτων καὶ
καθαιρεθῆναι πάλιν, ἐπειδὴ πάνθ' ἕνεχ' ἑαυτοῦ ποιῶν
ἐξελήλεγκται. καιροῦ μὲν δή, ὦ ἄνδρες Ἀθηναῖοι,
πρὸς τοῦτο πάρεστι Φιλίππῳ τὰ πράγματα· ἢ παρελ-
θών τις ἐμοί, μᾶλλον δ' ὑμῖν δειξάτω, ἢ ὡς οὐκ
ἀληθῆ ταῦτ' ἐγὼ λέγω ἢ ὡς οἱ τὰ πρῶτ' ἐξηπατημένοι
τὰ λοιπὰ πιστεύσουσιν ἢ ὡς οἱ παρὰ τὴν αὑτῶν ἀξίαν
δεδουλωμένοι Θετταλοὶ νῦν οὐκ ἂν ἐλεύθεροι γένοιντ'
ἄσμενοι.

Καὶ μὴν εἴ τις ὑμῶν ταῦτα μὲν οὕτως ἔχειν ἡγεῖ- 5
ται, οἴεται δὲ βίᾳ καθέξειν αὐτὸν τὰ πράγματα τῷ τὰ
χωρία καὶ λιμένας καὶ τὰ τοιαῦτα προειληφέναι, οὐκ
ὀρθῶς οἴεται. ὅταν μὲν γὰρ ὑπ' εὐνοίας τὰ πράγματα
συστῇ καὶ πᾶσι ταὐτὰ συμφέρῃ τοῖς μετέχουσι τοῦ πο-
λέμου, καὶ συμπονεῖν καὶ φέρειν τὰς συμφορὰς καὶ
μένειν ἐθέλουσιν ἄνθρωποι· ὅταν δ' ἐκ πλεονεξίας καὶ
πονηρίας τις ὥσπερ οὗτος ἰσχύσῃ, ἡ πρώτη πρόφασις
καὶ μικρὸν πταῖσμα πάντ' ἀνεχαίτισεν καὶ διέλυσεν.
οὐ γάρ ἐστιν, οὐκ ἔστιν, ὦ ἄνδρες Ἀθηναῖοι, ἀδικοῦντα 6
καὶ ἐπιορκοῦντα καὶ ψευδόμενον δύναμιν βεβαίαν κτή-
σασθαι, ἀλλὰ τὰ τοιαῦτ' εἰς μὲν ἅπαξ καὶ βραχὺν
χρόνον ἀντέχει, καὶ σφόδρα γ' ἤνθησεν ἐπὶ ταῖς ἐλ-
πίσιν, ἂν τύχῃ, τῷ χρόνῳ δὲ φωρᾶται καὶ περὶ αὑτὰ
καταρρεῖ. ὥσπερ γὰρ οἰκίας, οἶμαι, καὶ πλοίου καὶ
τῶν ἄλλων τῶν τοιούτων τὰ κάτωθεν ἰσχυρότατ' εἶναι
δεῖ, οὕτω καὶ τῶν πράξεων τὰς ἀρχὰς καὶ τὰς ὑπο-
θέσεις ἀληθεῖς καὶ δικαίας εἶναι προσήκει. τοῦτο δ'
οὐκ ἔνι νῦν ἐν τοῖς πεπραγμένοις Φιλίππῳ.

Ἀλλ' οὐ μόνον, ὦ ἄνδρες Ἀθηναῖοι, τὰ συμμαχικὰ 11
ἀσθενῶς καὶ ἀπίστως ἔχοντα φαίνεται Φιλίππῳ, ἀλλὰ
καὶ τὰ τῆς οἰκείας ἀρχῆς καὶ δυνάμεως κακῶς ἔχοντ'

ἐξελέγχεται. ὅλως μὲν γὰρ ἡ Μακεδονικὴ δύναμις καὶ
ἀρχὴ ἐν μὲν προσθήκῃ μερίς ἐστί τις οὐ μικρά, οἷον
a. 364 ὑπῆρξέ ποθ' ὑμῖν ἐπὶ Τιμοθέου πρὸς Ὀλυνθίους·
a. 357 πάλιν αὖ πρὸς Ποτείδαιαν Ὀλυνθίοις ἐφάνη τι τοῦτο
a. 352 συμμαχόμενον· νυνὶ Θετταλοῖς στασιάζουσι καὶ τεταραγ-
μένοις ἐπὶ τὴν τυραννικὴν οἰκίαν ἐβοήθησεν· καὶ
ὅποι τις ἄν, οἶμαι, προσθῇ κἂν μικρὰν δύναμιν, πάντ'
ὠφελεῖ· αὐτὴ δὲ καθ' αὑτὴν ἀσθενὴς καὶ πολλῶν κα-
2 κῶν ἐστι μεστή. καὶ γὰρ οὗτος ἅπασι τούτοις, οἷς
ἄν τις μέγαν αὐτὸν ἡγήσαιτο, τοῖς πολέμοις καὶ ταῖς
στρατείαις, ἔτ' ἐπισφαλεστέραν, ἢ ὑπῆρχε φύσει, κατε-
σκεύακεν αὑτῷ. μὴ γὰρ οἴεσθε, ὦ ἄνδρες Ἀθηναῖοι,
τοῖς αὐτοῖς Φίλιππόν τε χαίρειν καὶ τοὺς ἀρχομένους,
ἀλλ' ὁ μὲν δόξης ἐπιθυμεῖ καὶ τοῦτ' ἐζήλωκε καὶ προ-
ῄρηται πράττων καὶ κινδυνεύων, ἂν συμβῇ τι, παθεῖν,
τὴν τοῦ διαπράξασθαι ταῦθ' ἃ μηδεὶς πώποτ' ἄλλος
Μακεδόνων δόξαν ἀντὶ τοῦ ζῆν ἀσφαλῶς ᾑρημένος·
3 τοῖς δὲ τῆς μὲν φιλοτιμίας τῆς ἀπὸ τούτων οὐ μέτεστι,
κοπτόμενοι δ' ἀεὶ ταῖς στρατείαις ταύταις ταῖς ἄνω
κάτω λυποῦνται καὶ συνεχῶς ταλαιπωροῦσιν, οὔτ' ἐπὶ
τοῖς ἔργοις οὔτ' ἐπὶ τοῖς αὑτῶν ἰδίοις ἐώμενοι δια-
τρίβειν, οὔθ' ὅσ' ἂν ποιήσωσιν οὕτως ὅπως ἂν δύ-
νωνται, ταῦτ' ἔχοντες διαθέσθαι, κεκλειμένων τῶν
ἐμπορίων τῶν ἐν τῇ χώρᾳ διὰ τὸν πόλεμον.
4 Οἱ μὲν οὖν πολλοὶ Μακεδόνων πῶς ἔχουσι Φιλίππῳ,
ἐκ τούτων ἄν τις σκέψαιτ' οὐ χαλεπῶς· οἱ δὲ δὴ περὶ
αὐτὸν ὄντες ξένοι καὶ πεζέταιροι δόξαν μὲν ἔχουσιν
ὡς εἰσὶ θαυμαστοὶ καὶ συγκεκροτημένοι τὰ τοῦ πολέ-
μου, ὡς δ' ἐγὼ τῶν ἐν αὐτῇ τῇ χώρᾳ γεγενημένων
τινὸς ἤκουον ἀνδρὸς οὐδαμῶς οἵου ψεύδεσθαι, οὐδέ-
5 νων εἰσὶν βελτίους. εἰ μὲν γάρ τις ἀνήρ ἐστιν ἐν

*εἰς δικαστήριον, ὅτι οὐ νομίζω θεοὺς εἶναι ἀπειθῶν
τῇ μαντείᾳ καὶ δεδιὼς θάνατον καὶ οἰόμενος σοφὸς
εἶναι οὐκ ὤν. τὸ γάρ τοι θάνατον δεδιέναι, ὦ ἄνδρες,
οὐδὲν ἄλλο ἐστὶν ἢ δοκεῖν σοφὸν εἶναι μὴ ὄντα· δοκεῖν
γὰρ εἰδέναι ἐστὶν ἃ οὐκ οἶδεν. οἶδε μὲν γὰρ οὐδεὶς
τὸν θάνατον οὐδ' εἰ τυγχάνει τῷ ἀνθρώπῳ πάντων
μέγιστον ὂν τῶν ἀγαθῶν, δεδίασι δ' ὡς εὖ εἰδότες,
ὅτι μέγιστον τῶν κακῶν ἐστι. καὶ τοῦτο πῶς οὐκ* 3
*ἀμαθία ἐστὶν αὕτη ἡ ἐπονείδιστος, ἡ τοῦ οἴεσθαι
εἰδέναι ἃ οὐκ οἶδεν; ἐγὼ δ', ὦ ἄνδρες, τούτῳ καὶ ἐν-
ταῦθα ἴσως διαφέρω τῶν πολλῶν ἀνθρώπων, καὶ εἰ
δή τῳ σοφώτερός του φαίην εἶναι, τούτῳ ἄν, ὅτι οὐκ
εἰδὼς ἱκανῶς περὶ τῶν ἐν Ἅιδου οὕτω καὶ οἴομαι οὐκ
εἰδέναι· τὸ δὲ ἀδικεῖν καὶ ἀπειθεῖν τῷ βελτίονι, καὶ
θεῷ καὶ ἀνθρώπῳ, ὅτι κακὸν καὶ αἰσχρόν ἐστιν οἶδα.
πρὸ οὖν τῶν κακῶν, ὧν οἶδα ὅτι κακά ἐστιν, ἃ μὴ* 4
*οἶδα εἰ ἀγαθὰ ὄντα τυγχάνει οὐδέποτε φοβήσομαι οὐδὲ
φεύξομαι· ὥστε οὐδ' εἴ με νῦν ὑμεῖς ἀφίετε Ἀνύτῳ
ἀπιστήσαντες, ὃς ἔφη ἢ τὴν ἀρχὴν οὐ δεῖν ἐμὲ δεῦρο
εἰσελθεῖν ἤ, ἐπειδὴ εἰσῆλθον, οὐχ οἷόν τ' εἶναι τὸ
μὴ ἀποκτεῖναί με, λέγων πρὸς ὑμᾶς ὡς, εἰ διαφευ-
ξοίμην, ἤδη ἂν ὑμῶν οἱ υἱεῖς ἐπιτηδεύοντες ἃ Σω-
κράτης διδάσκει πάντες παντάπασι διαφθαρήσονται,
— εἴ μοι πρὸς ταῦτα εἴποιτε· ὦ Σώκρατες, νῦν μὲν* 5
*Ἀνύτῳ οὐ πεισόμεθα, ἀλλ' ἀφίεμέν σε, ἐπὶ τούτῳ
μέντοι, ἐφ' ᾧτε μηκέτι ἐν ταύτῃ τῇ ζητήσει διατρίβειν
μηδὲ φιλοσοφεῖν· ἐὰν δὲ ἁλῷς ἔτι τοῦτο πράττων,
ἀποθανεῖ· εἰ οὖν με, ὅπερ εἶπον, ἐπὶ τούτοις ἀφίοιτε,
εἴποιμ' ἂν ὑμῖν ὅτι ἐγὼ ὑμᾶς, ἄνδρες Ἀθηναῖοι, ἀσπά-
ζομαι μὲν καὶ φιλῶ, πείσομαι δὲ μᾶλλον τῷ θεῷ ἢ
ὑμῖν, καὶ ἕωσπερ ἂν ἐμπνέω καὶ οἷός τε ὦ, οὐ μὴ*

XVI. In ipsius Philippi terra bellum Atheniensibus gerendum esse.

(Demosth. Ol. I [a. 349] 25—28.)

1 Ἔτι τοίνυν, ὦ ἄνδρες Ἀθηναῖοι, μηδὲ τοῦθ' ὑμᾶς
λανθανέτω, ὅτι νῦν αἵρεσίς ἐστιν ὑμῖν, πότερ' ὑμᾶς
ἐκεῖ χρὴ πολεμεῖν ἢ παρ' ὑμῖν ἐκεῖνον. ἐὰν μὲν γὰρ
ἀντέχῃ τὰ τῶν Ὀλυνθίων, ὑμεῖς ἐκεῖ πολεμήσετε κα
τὴν ἐκείνου κακῶς ποιήσετε, τὴν ὑπάρχουσαν καὶ τὴ
οἰκείαν ταύτην ἀδεῶς καρπούμενοι· ἂν δ' ἐκεῖνα Φί
2 λιππος λάβῃ, τίς αὐτὸν κωλύσει δεῦρο βαδίζειν; Θη
βαῖοι; μὴ λίαν πικρὸν εἰπεῖν ᾖ, καὶ συνεισβαλοῦσι
ἑτοίμως. ἀλλὰ Φωκεῖς; οἱ τὴν οἰκείαν οὐχ οἷοί τ
ὄντες φυλάττειν, ἐὰν μὴ βοηθήσηθ' ὑμεῖς. ἢ ἄλλο
τις; ἀλλ', ὦ τᾶν, οὐχὶ βουλήσεται. τῶν ἀτοπωτάτω
μέντἂν εἴη, εἰ, ἃ νῦν ἄνοιαν ὀφλισκάνων ὅμως ἐκλα
3 λεῖ, ταῦτα δυνηθεὶς μὴ πράξει. ἀλλὰ μὴν ἡλίκα γ
ἐστὶν τὰ διάφορα ἐνθάδ' ἢ 'κεῖ πολεμεῖν, οὐδὲ λόγο
προσδεῖν ἡγοῦμαι. εἰ γὰρ ὑμᾶς δεήσειεν αὐτοὺς τρι
άκονθ' ἡμέρας μόνας ἔξω γενέσθαι καὶ ὅσ' ἀνάγκ
στρατοπέδῳ χρωμένους τῶν ἐκ τῆς χώρας λαμβάνει
μηδενὸς ὄντος ἐν αὐτῇ πολεμίου λέγω, πλείον' ἂ
οἶμαι ζημιωθῆναι τοὺς γεωργοῦντας ὑμῶν ἢ ὅσ' εἰ
ἅπαντα τὸν πρὸ τοῦ πόλεμον δεδαπάνησθε. εἰ δὲ δ
πόλεμός τις ἥξει, πόσα χρὴ νομίσαι ζημιώσεσθαι; κα
πρόσεσθ' ἡ ὕβρις καὶ ἔθ' ἡ τῶν πραγμάτων αἰσχύν
οὐδεμιᾶς ἐλάττων ζημίας τοῖς γε σώφροσιν.

4 Πάντα δὴ ταῦτα δεῖ συνιδόντας ἅπαντας βοηθεῖ
καὶ ἀπωθεῖν ἐκεῖσε τὸν πόλεμον, τοὺς μὲν εὐπόρου
ἵν' ὑπὲρ τῶν πολλῶν ὧν καλῶς ποιοῦντες ἔχουσι, μικ
ἀναλίσκοντες τὰ λοιπὰ καρπῶνται ἀδεῶς, τοὺς δ' ἐ
ἡλικίᾳ, ἵνα τὴν τοῦ πολεμεῖν ἐμπειρίαν ἐν τῇ Φιλίππο

χώρᾳ κτησάμενοι φοβεροὶ φύλακες τῆς οἰκείας ἀκεραίου γένωνται, τοὺς δὲ λέγοντας, ἵν᾽ αἱ τῶν πεπολιτευμένων αὐτοῖς εὔθυναι ῥᾴδιαι γένωνται, ὡς ὁποῖ᾽ ἄττ᾽ ἂν ὑμᾶς περιστῇ τὰ πράγματα, τοιοῦτοι κριταὶ καὶ τῶν πεπραγμένων αὐτοῖς ἔσεσθε. χρηστὰ δ᾽ εἴη παντὸς εἵνεκα.

XVII. Atheniensibus rem publicam male gerentibus pristinae dignitatis exempla proponuntur.

(Demosth. Ol. III [a. 349] 23—29.)

Σκέψασθ᾽, ὦ ἄνδρες Ἀθηναῖοι, ἅ τις ἂν κεφάλαι᾽ 1
εἰπεῖν ἔχοι τῶν τ᾽ ἐπὶ τῶν προγόνων ἔργων καὶ τῶν ἐφ᾽ ὑμῶν. ἔσται δὲ βραχὺς καὶ γνώριμος ὑμῖν ὁ λόγος· οὐ γὰρ ἀλλοτρίοις ὑμῖν χρωμένοις παραδείγμασιν, ἀλλ᾽ οἰκείοις, ὦ ἄνδρες Ἀθηναῖοι, εὐδαίμοσιν ἔξεστι γενέσθαι. ἐκεῖνοι τοίνυν, οἷς οὐκ ἐχαρίζονθ᾽ οἱ λέγοντες 2
οὐδ᾽ ἐφίλουν αὐτοὺς ὥσπερ ὑμᾶς οὗτοι νῦν, πέντε a. 476
μὲν καὶ τετταράκοντ᾽ ἔτη τῶν Ἑλλήνων ἦρξαν ἑκόν- —431
των, πλείω δ᾽ ἢ μύρια τάλαντ᾽ εἰς τὴν ἀκρόπολιν ἀνήγαγον, ὑπήκουεν δ᾽ ὁ ταύτην τὴν χώραν ἔχων αὐτοῖς βασιλεύς, ὥσπερ ἐστὶ προσῆκον βάρβαρον Ἕλλησι, πολλὰ δὲ καὶ καλὰ καὶ πεζῇ καὶ ναυμαχοῦντες ἔστησαν τρόπαι᾽ αὐτοὶ στρατευόμενοι, μόνοι δ᾽ ἀνθρώπων κρείττω τὴν ἐπὶ τοῖς ἔργοις δόξαν τῶν φθονούντων κατέ- 3
λιπον. ἐπὶ μὲν δὴ τῶν Ἑλληνικῶν ἦσαν τοιοῦτοι· ἐν δὲ τοῖς κατὰ τὴν πόλιν αὐτὴν θεάσασθ᾽ ὁποῖοι, ἔν τε τοῖς κοινοῖς καὶ ἐν τοῖς ἰδίοις. δημοσίᾳ μὲν τοίνυν οἰκοδομήματα καὶ κάλλη τοιαῦτα καὶ τοσαῦτα κατεσκεύασαν ἡμῖν ἱερῶν καὶ τῶν ἐν τούτοις ἀναθημάτων, ὥστε μηδενὶ τῶν ἐπιγιγνομένων ὑπερβολὴν λελεῖφθαι· ἰδίᾳ δ᾽ οὕτω σώφρονες ἦσαν καὶ σφόδρ᾽ ἐν τῷ τῆς

4 πολιτείας ἤθει μένοντες, ὥστε τὴν Ἀριστείδου καὶ τὴν
Μιλτιάδου καὶ τῶν τότε λαμπρῶν οἰκίαν, εἴ τις ἄρ'
οἶδεν ὑμῶν ὁποία ποτ' ἐστίν, ὁρᾷ τῆς τοῦ γείτονος
οὐδὲν σεμνοτέραν οὖσαν· οὐ γὰρ εἰς περιουσίαν ἐπράτ-
τετ' αὐτοῖς τὰ τῆς πόλεως, ἀλλὰ τὸ κοινὸν αὔξειν
ἕκαστος ᾤετο δεῖν. ἐκ δὲ τοῦ τὰ μὲν Ἑλληνικὰ πι-
στῶς, τὰ δὲ πρὸς τοὺς θεοὺς εὐσεβῶς, τὰ δ' ἐν αὐ-
τοῖς ἴσως διοικεῖν μεγάλην εἰκότως ἐκτήσαντ' εὐδαι-
5 μονίαν. τότε μὲν δὴ τοῦτον τὸν τρόπον εἶχε τὰ
πράγματ' ἐκείνοις, χρωμένοις οἷς εἶπον προστάταις·
νυνὶ δὲ πῶς ἡμῖν ὑπὸ τῶν χρηστῶν τῶν νῦν τὰ
πράγματ' ἔχει; ἆρά γ' ὁμοίως καὶ παραπλησίως; οἷς
— τὰ μὲν ἄλλα σιωπῶ, πόλλ' ἂν ἔχων εἰπεῖν, ἀλλ'
ὅσης ἅπαντες ὁρᾶτ' ἐρημίας ἐπειλημμένοι, καὶ Λακε-
δαιμονίων μὲν ἀπολωλότων, Θηβαίων δ' ἀσχόλων ὄν-
των, τῶν δ' ἄλλων οὐδενὸς ὄντος ἀξιόχρεω περὶ
τῶν πρωτείων ἡμῖν ἀντιτάξασθαι, ἐξὸν ἡμῖν καὶ
τὰ ἡμέτερ' αὐτῶν ἀσφαλῶς ἔχειν καὶ τὰ τῶν ἄλλων
δίκαια βραβεύειν, ἀπεστερήμεθα μὲν χώρας οἰκείας,
πλείω δ' ἢ χίλια καὶ πεντακόσια τάλαντ' ἀνηλώκαμεν
εἰς οὐδὲν δέον, οὓς δ' ἐν τῷ πολέμῳ συμμάχους ἐκτη-
σάμεθα, εἰρήνης οὔσης ἀπολωλέκασιν οὗτοι, ἐχθρὸν
6 δ' ἐφ' ἡμᾶς αὐτοὺς τηλικοῦτον ἠσκήκαμεν. ἢ φρασάτω
τις ἐμοὶ παρελθών, πόθεν ἄλλοθεν ἰσχυρὸς γέγονεν
ἢ παρ' ἡμῶν αὐτῶν Φίλιππος. ἀλλ', ὦ τᾶν, εἰ ταῦτα
φαύλως, τά γ' ἐν αὐτῇ τῇ πόλει νῦν ἄμεινον ἔχει. καὶ
τί ἂν εἰπεῖν τις ἔχοι; τὰς ἐπάλξεις ἃς κονιῶμεν, καὶ
τὰς ὁδοὺς ἃς ἐπισκευάζομεν, καὶ κρήνας καὶ λήρους;
7 ἀποβλέψατε δὴ πρὸς τοὺς ταῦτα πολιτευομένους, ὧν
οἱ μὲν ἐκ πτωχῶν πλούσιοι γεγόνασιν, οἱ δ' ἐξ ἀδό-
ξων ἔντιμοι, ἔνιοι δὲ τὰς ἰδίας οἰκίας τῶν δημοσίων

οἰκοδομημάτων σεμνοτέρας εἰσὶ κατεσκευασμένοι· ὅσῳ δὲ τὰ τῆς πόλεως ἐλάττω γέγονεν, τοσούτῳ τὰ τούτων ηὔξηται.

XVIII. Athenienses valere dicendo, agendo Philippum.

(Demosth. Phil. II [a. 344] 1—5.)

Ὅταν, ὦ ἄνδρες Ἀθηναῖοι, λόγοι γίγνωνται περὶ 1
ὧν Φίλιππος πράττει καὶ βιάζεται παρὰ τὴν εἰρήνην,
ἀεὶ τοὺς ὑπὲρ ἡμῶν λόγους καὶ δικαίους καὶ φιλαν-
θρώπους ὁρῶ φαινομένους, καὶ λέγειν μὲν ἅπαντας
ἀεὶ τὰ δέοντα δοκοῦντας τοὺς κατηγοροῦντας Φιλίπ-
που, γιγνόμενον δ' οὐδὲν ὡς ἔπος εἰπεῖν τῶν δεόν-
των οὐδ' ὧν ἕνεκα ταῦτ' ἀκούειν ἄξιον· ἀλλ' εἰς τοῦτ' 2
ἤδη προηγμένα τυγχάνει πάντα τὰ πράγματα τῇ πόλει,
ὥσθ' ὅσῳ τις ἂν μᾶλλον καὶ φανερώτερον ἐξελέγχῃ
Φίλιππον καὶ τὴν πρὸς ὑμᾶς εἰρήνην παραβαίνοντα
καὶ πᾶσι τοῖς Ἕλλησιν ἐπιβουλεύοντα, τοσούτῳ τὸ τί
χρὴ ποιεῖν συμβουλεῦσαι χαλεπώτερον. αἴτιον δὲ τού- 3
των, ὅτι πάντες, ὦ ἄνδρες Ἀθηναῖοι, τοὺς πλεονεκτεῖν
ζητοῦντας ἔργῳ κωλύειν καὶ πράξεσιν, οὐχὶ λόγοις
δέον, πρῶτον μὲν ἡμεῖς οἱ παριόντες τούτων μὲν ἀφέ-
σταμεν καὶ γράφειν καὶ συμβουλεύειν, τὴν πρὸς ὑμᾶς
ἀπέχθειαν ὀκνοῦντες, οἷα ποιεῖ δέ, ὡς δεινά, καὶ τοι-
αῦτα διεξερχόμεθα· ἔπειθ' ὑμεῖς οἱ καθήμενοι, ὡς μὲν
ἂν εἴποιτε δικαίους λόγους καὶ λέγοντος ἄλλου συνεί-
ητε, ἄμεινον Φιλίππου παρεσκεύασθε, ὡς δὲ κωλύσαιτ'
ἂν ἐκεῖνον πράττειν ταῦτ' ἐφ' ὧν ἐστι νῦν, παντελῶς
ἀργῶς ἔχετε. συμβαίνει δὴ πρᾶγμ' ἀναγκαῖον, οἶμαι, 4
καὶ ἴσως εἰκός· ἐν οἷς ἑκάτεροι διατρίβετε καὶ περὶ ἃ
σπουδάζετε, ταῦτ' ἄμεινον ἑκατέροις ἔχει, ἐκείνῳ μὲν αἱ
πράξεις, ὑμῖν δ' οἱ λόγοι. εἰ μὲν οὖν καὶ νῦν λέγειν

δικαιότερ' ὑμῖν ἐξαρκεῖ, ῥᾴδιον, καὶ πόνος οὐδεὶς πρόσεστι τῷ πράγματι· εἰ δ' ὅπως τὰ παρόντ' ἐπανορθωθήσεται δεῖ σκοπεῖν καὶ μὴ προελθόντ' ἔτι πορρωτέρω λήσει πάνθ' ἡμᾶς μηδ' ἐπιστήσεται μέγεθος δυνάμεως πρὸς ἣν οὐδ' ἀντᾶραι δυνησόμεθα, οὐχ ὁ αὐτὸς τρόπος ὅσπερ πρότερον τοῦ βουλεύεσθαι, ἀλλὰ καὶ τοῖς λέγουσιν ἅπασι καὶ τοῖς ἀκούουσιν ὑμῖν τὰ βέλτιστα καὶ τὰ σώσοντα τῶν ῥᾴστων καὶ τῶν ἡδίστων προαιρετέον.

XIX. Necessario Philippum Atheniensibus esse hostem; utique diffidendum esse tyranno a liberis civitatibus.

(Demosth. Phil. II 17—25.)

1 *Τοῦτ' ἐξ ἀνάγκης τρόπον τιν' αὐτῷ νῦν γε δὴ
συμβαίνει. λογίζεσθε γάρ. ἄρχειν βούλεται, τούτου
δ' ἀνταγωνιστὰς μόνους ὑπείληφεν ὑμᾶς. ἀδικεῖ πο-
λὺν ἤδη χρόνον, καὶ τοῦτ' αὐτὸς ἄριστα σύνοιδεν
αὑτῷ· οἷς γὰρ οὖσιν ὑμετέροις ἔχει, τούτοις πάντα
τἆλλ' ἀσφαλῶς κέκτηται· εἰ γὰρ Ἀμφίπολιν καὶ Ποτεί-
δαιαν προεῖτο, οὐδ' ἂν οἴκοι μένειν βεβαίως ἠδύνατο.
2 ἀμφότερ' οὖν οἶδε, καὶ αὑτὸν ὑμῖν ἐπιβουλεύοντα, καὶ
ὑμᾶς αἰσθανομένους· εὖ φρονεῖν δ' ὑμᾶς ὑπολαμβά-
νων δικαίως ἂν αὑτὸν μισεῖν νομίζοι, καὶ παρώξυνται
πείσεσθαί τι προσδοκῶν, ἂν καιρὸν λάβητε, ἂν μὴ
3 φθάσῃ ποιήσας πρότερος. διὰ ταῦτ' ἐγρήγορεν, ἐφέ-
στηκεν ἐπὶ τῇ πόλει, θεραπεύει τινάς, Θηβαίους καὶ
Πελοποννησίων τοὺς ταὐτὰ βουλομένους τούτοις, οὓς
διὰ μὲν πλεονεξίαν τὰ παρόντ' ἀγαπήσειν οἴεται, διὰ
δὲ σκαιότητα τρόπων τῶν μετὰ ταῦτ' οὐδὲν προόψε-
σθαι. καίτοι σωφρονοῦσί γε καὶ μετρίως ἐναργῆ παρα-
δείγματ' ἔστιν ἰδεῖν, ἃ καὶ πρὸς Μεσσηνίους καὶ πρὸς*

*Ἀργείους ἔμοιγ' εἰπεῖν συνέβη, βέλτιον δ' ἴσως καὶ
πρὸς ὑμᾶς ἐστιν εἰρῆσθαι.*

'Πῶς γὰρ οἴεσθ'', ἔφην, 'ὦ ἄνδρες Μεσσήνιοι, 4
*δυσχερῶς ἀκούειν Ὀλυνθίους, εἴ τίς τι λέγοι κατὰ
Φιλίππου κατ' ἐκείνους τοὺς χρόνους, ὅτ' Ἀνθεμοῦντα
μὲν αὐτοῖς ἀφίει, οὗ πάντες οἱ πρότερον Μακεδονίας
βασιλεῖς ἀντεποιοῦντο, Ποτείδαιαν δ' ἐδίδου τοὺς Ἀθη-
ναίων ἀποίκους ἐκβάλλων, καὶ τὴν μὲν ἔχθραν τὴν
πρὸς ἡμᾶς αὐτὸς ἀνῄρητο, τὴν χώραν δ' ἐκείνοις ἐδε-
δώκει καρποῦσθαι; ἆρα προσδοκᾶν αὐτοὺς τοιαῦτα
πείσεσθαι, ἢ λέγοντος ἄν τινος πιστεῦσαι οἴεσθε; ἀλλ'* 5
*ὅμως', ἔφην ἐγώ, 'μικρὸν χρόνον τὴν ἀλλοτρίαν καρ-
πωσάμενοι πολὺν τῆς ἑαυτῶν ὑπ' ἐκείνου στέρονται,
αἰσχρῶς ἐκπεσόντες, οὐ κρατηθέντες μόνον, ἀλλὰ καὶ
προδοθέντες ὑπ' ἀλλήλων καὶ πραθέντες· οὐ γὰρ
ἀσφαλεῖς ταῖς πολιτείαις αἱ πρὸς τοὺς τυράννους αὗται
λίαν ὁμιλίαι. τί δ' οἱ Θετταλοί; ἆρ' οἴεσθε', ἔφην,* 6
*'ὅτ' αὐτοῖς τοὺς τυράννους ἐξέβαλλε καὶ πάλιν Νί-
καιαν καὶ Μαγνησίαν ἐδίδου, προσδοκᾶν τὴν καθε-
στῶσαν νῦν δεκαδαρχίαν ἔσεσθαι παρ' αὐτοῖς; ἢ τὸν
τὴν πυλαίαν ἀποδόντα, τοῦτον τὰς ἰδίας αὐτῶν προσ-
όδους παραιρήσεσθαι; οὐκ ἔστι ταῦτα. ἀλλὰ μὴν γέ-
γονε ταῦτα καὶ πᾶσιν ἔστιν εἰδέναι. ὑμεῖς δ'', ἔφην* 7
*ἐγώ, 'διδόντα μὲν καὶ ὑπισχνούμενον θεωρεῖτε Φί-
λιππον, ἐξηπατηκότα δ' ἤδη καὶ παρακεκρουμένον, ἀπεύ-
χεσθε, εἰ σωφρονεῖτε δή, ἰδεῖν. ἔστι τοίνυν νὴ Δία',
ἔφην ἐγώ, 'παντοδαπὰ εὑρημένα ταῖς πόλεσι πρὸς φυ-
λακὴν καὶ σωτηρίαν, οἷον χαρακώματα καὶ τείχη καὶ
τάφροι καὶ τἄλλ' ὅσα τοιαῦτα. καὶ ταῦτα μέν ἐστιν* 8
*ἅπαντα χειροποίητα καὶ δαπάνης προσδεῖται· ἓν δέ τι
κοινὸν ἡ φύσις τῶν εὖ φρονούντων ἐν αὑτῇ κέκτηται*

στεφάνους τὸν τοῦ δήμου ταμίαν ἐκ τῶν εἰς τὰ κατὰ ψηφίσμ
τῷ δήμῳ μεριζομένων· τὸ δὲ νῦν εἶναι παραδοῦναι τοὺς ἀ
δέκτας τὸ εἰς τοὺς στεφάνους ἐκ τῶν στρατιωτικῶν χρημάτ
ἀναγράψαι δὲ τὸ ψήφισμα τόδε τὸγ γραμματέα τῆς βουλῆς
στήλῃ λιθίνῃ καὶ στῆσαι πλησίον τῆς Σατύρου καὶ Λεύκων
ἐς δὲ τὴν ἀναγραφὴν δοῦναι τὸν ταμίαν τοῦ δήμου τριάκο
δραχμάς. ἐπαινέσαι δὲ τοὺς πρέσβεις Σῶσιν καὶ Θεοδόσιον,
ἐπιμελοῦνται τῶν ἀφικνουμένων Ἀθήνηθεν εἰς Βόσπορον,
καλέσαι αὐτοὺς ἐπὶ ξένια εἰς τὸ πρυτανεῖον εἰς αὔριον. π
δὲ τῶν χρημάτων τῶν ὀφειλομένων τοῖς παισὶ τοῖς Λεύκω
ὅπως ἂν ἀπολάβωσιν χρηματίσαι τοὺς προέδρους οἳ ἂν λάχ
προεδρεύειν ἐν τῷ δήμῳ τῇ ὀγδόῃ ἐπὶ δέκα [scil. Ἐλαφηβολ
νος] πρῶτον μετὰ τὰ ἱερά, ὅπως ἂν ἀπολαβόντες τὰ χρήμ
μὴ ἐγκαλῶσι τῷ δήμῳ τῷ Ἀθηναίων. δοῦναι δὲ τὰς ὑπηρεσ
ἃς αἰτοῦσι Σπάρτοκος καὶ Παιρισάδης, τοὺς δὲ πρέσβεις ἀ
γράψαι τὰ ὀνόματα τῶν ὑπηρεσιῶν ὧν ἂν λάβωσιν τῷ γραμ
τεῖ τῆς βουλῆς· οὓς δ' ἂν ἀπογράψωσιν εἶναι ἐν τῷ τεταγμ
ποιοῦντας ἀγαθὸν ὅτι ἂν δύνωνται τοὺς παῖδας τοὺς Λεύκω
Πολύευκτος Τιμοκράτους Κριωεὺς εἶπε· τὰ μὲν ἄλλα καθάπ
Ἀνδροτίων, στεφανῶσαι δὲ καὶ Ἀπολλώνιον τὸν Λεύκωνος
ἐκ τῷ . . . .

